ISBN 978-618-226-009-8 [SET]
ISBN 978-618-226-012-8

© 2023 ΙΕΡΑ ΜΕΓΙΣΤΗ ΜΟΝΗ ΒΑΤΟΠΑΙΔΙΟΥ

Καρυές, 630 86 Άγιον Όρος, τηλ.: 2377 888087, e-mail: ekthesi@vatopedi.gr

# Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ
## ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΙΑΚΩΒΟΥ ΑΔΕΛΦΟΥ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΠΡΩΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΥΣΑΛΗΜ

## ΙΕΡΑΤΙΚΟΝ

ΙΕΡΑ ΜΕΓΙΣΤΗ ΜΟΝΗ
ΒΑΤΟΠΑΙΔΙΟΥ
ΑΓΙΟΝ ΟΡΟΣ 2023

## ΣΥΜΒΟΛΑ

✠ = ὁ ἱερεὺς σφραγίζει

{ } = μόνον ἐν συλλειτούργοις

| | = ἐνιαχοῦ παραλείπεται

# ΑΡΧΗ

## ◂ ΚΑΙΡΟΣ ▸

Εἰσελθὼν ὁ ἱερεὺς εἰς τὴν ἐκκλησίαν καὶ τὰς ἁγίας εἰκόνας ἀσπασάμενος, εὔχεται οὕτω, τοῦ διακόνου εἰπόντος· Τοῦ Κυρίου δεηθῶμεν·

Εἰ βούλει, λέγε τὰς εὐχὰς Α′, Β′, Γ′ (σσ. 101-102)

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καλέσας ἡμᾶς εἰς τὸ φῶς τὸ ἀληθινόν, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἄφες ἡμῖν τὰ παραπτώματα, καὶ καταξίωσον ἡμᾶς λειτουργῆσαι τοῖς ἁγίοις μυστηρίοις σου·

Βασιλεύεις γὰρ ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## ◂ ΠΡΟΘΕΣΙΣ ▸

Καὶ ἐνδυθεὶς ἐν τῷ διακονικῷ, ποιεῖ τὴν πρόθεσιν. Πρὸ τοῦ καλυφθῆναι τὰ τίμια δῶρα λέγει ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Εἰ βούλει, λέγε την εὐχην Δ′ (σσ. 102-103)

Εὐχὴ τοῦ θυμιάματος·

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ προσδεξάμενος Ἄβελ τὰ δῶρα, Νῶε καὶ Ἀβραὰμ τὴν θυσίαν, Ἀαρὼν καὶ Ζαχαρίου τὸ θυμίαμα, πρόσδεξαι καὶ ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὸ θυμίαμα ✠ τοῦτο εἰς ὀσμὴν εὐωδίας καὶ ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν·

Ὅτι εὐλογημένος ὑπάρχεις καὶ πρέπει σοι ἡ δόξα, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Μετὰ δὲ τὴν τούτων κάλυψιν, αὖθις λέγει ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ τῆς προθέσεως·

Δέσποτα ζωοποιὲ καὶ τῶν ἀγαθῶν χορηγέ, ὁ δοὺς τοῖς ἀνθρώποις τὴν ἐλπίδα τῆς αἰωνίου ζωῆς, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καταξίωσον ἡμᾶς ἐν ἁγιασμῷ καὶ ταύτην σοι τὴν θείαν ἐπιτελέσαι λειτουργίαν, εἰς ἀπόλαυσιν τῆς μελλούσης μακαριότητος·

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ὁ διάκονος θυμιᾷ τὸ θυσιαστήριον, ἢ καὶ ὅλον τὸν ναόν. Συναχθέντων δὲ πάντων, λέγει ὁ ἱερεύς·

Εὐεργέτα καὶ βασιλεῦ τῶν αἰώνων καὶ τῆς κτίσεως ἁπάσης δημιουργέ, πρόσδεξαι προσιοῦσάν σοι διὰ τοῦ Χριστοῦ σου τὴν ἐκκλησίαν σου· ἑκάστῳ τὸ συμφέρον ἐκπλήρωσον, ἄγαγε πάντας εἰς τελειότητα καὶ ἀξίους ἡμᾶς ἀπέργασαι τῆς χάριτος τοῦ ἁγιασμοῦ σου.

Καὶ τοῦ διακόνου καιρὸν λαβόντος, πάντες ἀσπάζονται τὴν ἁγίαν τράπεζαν, ὁ δὲ ἱερεὺς καὶ τὸ ἱερὸν εὐαγγέλιον.


ΙΑΚΩΒΟC

# ΜΕΡΟΣ Α΄
# ΕΙΣΑΓΩΓΗ

## ◂ ΕΝΑΡΞΙΣ ▸

Ὁ διάκονος· Κύριε, εὐλόγησον.
Ὁ ἱερεύς·

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἰ βούλει, λέγε τὴν εὐχὴν Ε΄ (σ. 104)

Ὁ λαός· Ἀμήν. Καὶ ψάλλουσι τὰ τρία τροπάρια.

## ◂ ΠΡΩΤΗ ΕΙΣΟΔΟΣ ▸

Τοῦ κλήρου ἐξελθόντος καὶ ἐν τῷ συνήθει τόπῳ στάντος, λέγει ὁ διάκονος ἠρέμα· Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ τῆς εἰσόδου·

Οἰκτῖρμον καὶ ἐλεῆμον, μακρόθυμε καὶ πολυέλεε καὶ ἀληθινὲ Κύριε, ἐπίβλεψον ἐξ ἑτοίμου κατοικητηρίου σου καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς πειρασμοῦ, διαβολικοῦ τε καὶ ἀνθρωπίνου· Καὶ μὴ ἀποστήσῃς ἀφ' ἡμῶν τὴν σὴν βοήθειαν, ἡμεῖς γὰρ οὐχ ἱκανοὶ πρὸς τὸ νικᾶν τὰ ἀντιπίπτοντα,

Εἰ βούλει, λέγε τὴν εὐχὴν Ϛ΄ (σσ. 104-105)

σὺ δὲ δυνατὸς εἶ, Κύριε

σὺ δὲ δυνατὸς εἶ, Κύριε, εἰς τὸ σῴζειν ἡμᾶς ἐκ πάντων τῶν ἐναντιωμάτων.

Σῶσον ἡμᾶς, ὁ Θεός, ἐκ τῶν δυσχερῶν τοῦ κόσμου τούτου κατὰ τὴν χρηστότητά σου, ὅπως, εἰσελθόντες ἐν καθαρᾷ συνειδήσει πρὸς τὸ θυσιαστήριον τοῦ ἁγίου ναοῦ σου καὶ τὴν εὐάρεστόν σοι καὶ θείαν ἐπιτελέσαντες λειτουργίαν, καταξιωθῶμεν τῆς αἰωνίου ζωῆς.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Καὶ εὐλογεῖ τὴν εἴσοδον.

Ὁ διάκονος· Σοφία ὀρθοί.

{Οἱ συλλειτουργοί· Εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.}

Αὖθις ὁ λαὸς ψάλλει τὸ αὐτὸ ἀκροτελεύτιον σχολαίτερον, ἐν ᾧ ὁ κλῆρος ἀνέρχεται εἰς τὸ θυσιαστήριον.

## ◂ ΤΡΙΣΑΓΙΟΝ ▸

Ἐξελθὼν ὁ διάκονος, λέγει τὴν συναπτήν·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ λαός· Κύριε, ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ Θεοῦ φιλανθρωπίας, ὁμονοίας καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης καὶ εὐσταθείας τοῦ σύμπαντος κόσμου καὶ ἑνώσεως τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς καὶ ἀνάγκης, καὶ ὑπὲρ τῶν χρῃζόντων παρὰ τοῦ Θεοῦ ἀντίληψιν καὶ βοήθειαν, δεηθῶμεν.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ λαός· Σοί, Κύριε.

Ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχὴν τοῦ τρισαγίου·

Ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ὁ ἐν ἁγίοις κατοικῶν καὶ ἐπὶ θρόνου δόξης καθήμενος.

Ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ὁ ὑπὸ τῶν ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων καὶ πασῶν τῶν ἐπουρανίων δυνάμεων προσκυνούμενος καὶ δοξαζόμενος.

Ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ὁ παρὰ τῶν ἑξαπτερύγων σεραφὶμ τὸν τρισάγιον ὕμνον προσδεχόμενος.

Πρόσδεξαι

Πρόσδεξαι καὶ ἡμῶν τῶν ἀναξίων δούλων σου τὸν τρισάγιον ὕμνον καὶ ἐλέησον ἡμᾶς.

Καὶ ἐκφωνεῖ·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὸν τρισάγιον ὕμνον ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

Καὶ ψάλλεται τὸ τρισάγιον τρὶς {ἢ ἑξάκις}.

### ◂ ΚΑΘΕΔΡΑ – ΕΙΡΗΝΕΥΣΙΣ ▸

Οἱ ἱερεῖς ἀνέρχονται εἰς τὰς καθέδρας.

Ὁ διάκονος· Πρόσσχωμεν.

Ὁ ἱερεύς· ✠ Εἰρήνη πᾶσι.

Ὁ λαός· Καὶ τῷ πνεύματί σου.

Καὶ κάθηνται οἱ πρεσβύτεροι.

### ◂ ΠΡΟΚΕΙΜΕΝΟΝ ▸

Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ.

Ὁ διάκονος· Πρόσσχωμεν.

Καὶ ψάλλεται τὸ προκείμενον.

## ◂ ΑΝΑΓΝΩΣΜΑΤΑ ▸

Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης τὴν ἐπιγραφὴν τοῦ ἀναγνώσματος.

Ὁ διάκονος· Πρόσσχωμεν.

Καὶ ἀναγινώσκεται ὁ Ἀπόστολος, ἢ καὶ ἐκ τῆς Παλαιᾶς.

Εἶτα λέγει ὁ ἱερεὺς τῷ ἀναγνώστῃ· ✢ Εἰρήνη σοι.

## ◂ ΑΛΛΗΛΟΥΙΑ ▸

Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης· Ἀλληλούϊα· Ψαλμὸς τῷ Δαβίδ.

Ὁ διάκονος· Πρόσσχωμεν.

Καὶ ψάλλεται τὸ ἀλληλούϊα.

Ὁ διάκονος θυμιᾷ τὸ ἅγιον εὐαγγέλιον, τὸν ἱερέα {τοὺς συλλειτουργοὺς} καὶ τὸν λαόν.

Εἰ βούλει, λέγε τὴν εὐχὴν Ζ′ (σ. 105)

Ὁ εὐαγγελιστὴς λαμβάνει καιρὸν παρὰ τοῦ ἱερέως.

## ◂ ΕΚΤΕΝΗΣ – ΕΥΑΓΓΕΛΙΟΝ ▸

Ἐξελθὼν ὁ διάκονος, λέγει τὴν ἐκτενῆ·

Εἴπωμεν πάντες τό· Κύριε, ἐλέησον.

Ὁ λαός· Κύριε, ἐλέησον.

Κύριε παντοκράτορ, ἐπουράνιε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου· ἐπάκουσον καὶ ἐλέησον.

Ὁ πλούσιος ἐν ἐλέει

Ὁ πλούσιος ἐν ἐλέει καὶ ἀγαθὸς ἐν ἰσχύϊ, δεόμεθά σου Κύριε· ἐπάκουσον καὶ ἐλέησον.

Ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλ' ἀναμένων τὴν εἰς σὲ ἐπιστροφήν, ζωὴν καὶ μετάνοιαν, δεόμεθά σου Κύριε· ἐπάκουσον καὶ ἐλέησον.

Ἐλθόντες ἀκοῦσαι τοῦ ἁγίου Εὐαγγελίου σου, δεόμεθά σου Κύριε· ἐπάκουσον καὶ ἐλέησον.

Ἵνα ἐμφοιτήσῃ ὁ λόγος τοῦ Εὐαγγελίου σου ἐν ταῖς καρδίαις ἡμῶν, καὶ ῥύσῃ ἡμᾶς ἐκ τοῦ σκότους τοῦ αἰωνίου, δεόμεθά σου Κύριε· ἐπάκουσον καὶ ἐλέησον.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς, ὕψωσον κέρας χριστιανῶν, τῇ πρεσβείᾳ τῆς παναγίας, ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν ἁγίων σου, ἱκετεύομέν σε Κύριε· ἐπάκουσον καὶ ἐλέησον.

Ὁ λαός· Κύριε, ἐλέησον (τρίς).

Ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχὴν πρὸ τοῦ Εὐαγγελίου·

Σοὶ εὐχαριστοῦμεν, Κύριε, τῷ ἐξανατείλαντι φῶς ἐκ σκότους, καὶ ἀποκαλύψαντι τοὺς

ὀφθαλμοὺς τῆς διανοίας ἡμῶν εἰς κατανόησιν τῶν θαυμασίων σου, καὶ ἀνοίξαντι τὸ στόμα ἡμῶν εἰς ἐξομολόγησιν τῶν ἡμετέρων ἁμαρτιῶν, μελέτην δὲ τῶν σῶν ἐντολῶν.

Αὐτός, Δέσποτα, πρόσδεξαι τὴν προσευχὴν ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλαχίστων δούλων σου, καὶ μὴ ὑπερίδῃς τὴν δέησιν ἡμῶν, ἀλλὰ κατὰ τὴν σὴν μεγαλοπρέπειαν φύλαξον ἡμᾶς καὶ τοὺς συνελθόντας καὶ συνευχομένους ἡμῖν, καὶ ἐναύγασον ἐν ταῖς καρδίαις ἡμῶν τε καὶ αὐτῶν τὸν φωτισμὸν τῶν θείων σου λογίων.

Ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ εὐαγγελισμὸς καὶ ὁ φωτισμός, σωτὴρ καὶ φύλαξ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

Προλαβὼν ὁ εὐαγγελιστής, αἴρει τὸ εὐαγγέλιον καὶ ἐξέρχεται.

Ὁ διάκονος ἔνδοθεν· Ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ ἱερεύς· ✠ Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου

Ὁ λαός· Καὶ τῷ πνεύματί σου.

Ὁ εὐαγγελιστής· Ἐκ τοῦ κατὰ (δεῖνα) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ λαός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ διάκονος· Πρόσσχωμεν.

Εἶτα λέγει ὁ ἱερεὺς τῷ εὐαγγελιστῇ· ✠ Εἰρήνη σοι {ἢ ὑμῖν}.

Ὁ λαός· Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ τίθεται τὸ εὐαγγέλιον ἐν ἑτέρῳ τόπῳ τῆς ἁγίας τραπέζης.

## ◂ ΑΙΤΗΣΕΙΣ ▸

Ἐξελθὼν ὁ διάκονος, ἄρχεται τῶν αἰτήσεων·

Σχολάσωμεν ἐκτενῶς· τοῦ Κυρίου δεηθῶμεν.

Ὁ λαός· Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ λαός· Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ λαός· Σοί, Κύριε.

Ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχὴν μετὰ τὸ Εὐαγγέλιον·

Ὁ ἐνηχήσας ἡμῖν Θεὸς τὰ θεῖά σου λόγια καὶ σωτήρια, φώτισον καὶ συνέτισον τὰς ψυχὰς ἡμῶν εἰς τὴν τῶν προαναγνωσθέντων κατάληψιν, ὡς μὴ μόνον ἀκροατὰς ὀφθῆναι τῶν ζωοποιῶν προσταγμάτων, ἀλλὰ καὶ ποιητὰς πράξεων ἀγαθῶν, πίστιν μετερχομένους ἀνύπουλον, βίον ἄμεμπτον, πολιτείαν ἀνέγκλητον.

Ἐκφώνησις·

Ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ σοὶ δόξα πρέπει σὺν τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

## ◂ ΚΕΦΑΛΟΚΛΙΣΙΑ Α΄ ▸

Ὁ ἱερεύς· ✠ Εἰρήνη πᾶσι.

Ὁ λαός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ λαός· Σοί, Κύριε.

Εὐχὴ κεφαλοκλισίας α΄·

Ἐξαπόστειλον, Κύριε ὁ Θεὸς ἡμῶν, τὸ ἔλεός σου τοῖς κλίνουσι τὰς ἑαυτῶν κεφαλὰς καὶ ἀπεκδεχομένοις τὴν παρὰ σοῦ εὐλογίαν· ποίμανον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, καὶ δὸς ἡμῖν πᾶσι τὰ σὰ φρονεῖν καὶ λέγειν πάντοτε, καὶ ἐν ταῖς ἐντολαῖς σου πορεύεσθαι.

Ἐκφώνησις·

Εἴη τὸ ὄνομά σου τὸ ἅγιον εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ

τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

# ΜΕΡΟΣ Β΄
# ΠΡΟΕΤΟΙΜΑΣΙΑ

## ◂ ΝΙΨΙΣ ΧΕΙΡΩΝ ▸

Ὁ διάκονος· Ἐν εἰρήνῃ ψάλωμεν.

Ὁ λαός· Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνὴν αἰνέσεώς σου καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.

Καὶ συνάπτεται τὸ στιχηρὸν εἰς τὴν νίψιν τῶν χειρῶν, ἢ τὸ κοντάκιον {τρίχορον}.

Ὁ διάκονος προσάγει ὕδωρ τῷ ἱερεῖ {καὶ τοῖς συλλειτουργοῦσιν}. Ἁπλοῦται δὲ καὶ τὸ εἰλητόν.

## ◂ ΧΕΡΟΥΒΙΚΟΝ – ΕΙΣΟΔΟΣ ΤΩΝ ΑΓΙΩΝ ▸

Μετὰ ταῦτα λέγει ὁ διάκονος μεγαλοφώνως·

Μή τις τῶν κατηχουμένων, μή τις τῶν ἀμυήτων, μή τις τῶν μὴ δυναμένων ἡμῖν συνδεηθῆναι· ἀλλήλους ἐπίγνωτε· ὀρθοὶ πάντες.

Ὁ λαὸς ψάλλει τὸ στιχηρὸν εἰς τὴν εἴσοδον τῶν ἁγίων δώρων.

Ὁ δὲ ἱερεὺς λέγει {σὺν τοῖς συμπρεσβυτέροις}·

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία (τρίς).

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου (τρίς).

Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου (τρίς)·

Τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Καὶ κλινόμενος εὔχεται [καθ' ἑαυτόν]·

Ὁ ἐπισκεψάμενος ἡμᾶς ἐν ἐλέει καὶ οἰκτιρμοῖς, Δέσποτα Κύριε, καὶ χαρισάμενος παρρησίαν ἡμῖν τοῖς ταπεινοῖς καὶ ἀναξίοις δούλοις σου, παρίστασθαι τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσφέρειν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν, ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων·

Ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἀχρεῖον δοῦλόν σου καὶ ἐξάλειψόν μου τὰ παραπτώματα διὰ τὴν σὴν εὐσπλαγχνίαν, καὶ καθάρισόν μου τὰ χείλη καὶ τὴν καρδίαν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ

πνεύματος, καὶ ἀπόστησον ἀπ' ἐμοῦ

πνεύματος, καὶ ἀπόστησον ἀπ᾽ ἐμοῦ πάντα λογισμὸν αἰσχρόν τε καὶ ἀσύνετον·
Καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος εἰς τὴν λειτουργίαν ταύτην, καὶ πρόσδεξαί με διὰ τὴν ἀγαθότητά σου προσεγγίζοντα τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ εὐδόκησον, Κύριε, δεκτὰ γενέσθαι τὰ προσαγόμενά σοι δῶρα ταῦτα διὰ τῶν χειρῶν μου, συγκαταβαίνων ταῖς ἐμαῖς ἀσθενείαις·
Καὶ μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, μηδὲ βδελύξῃ τὴν ἐμὴν ἀναξιότητα, ἀλλ᾽ ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου παρένεγκε τὰ ἀνομήματά μου, ἵνα ἀκατακρίτως προσελθὼν κατενώπιον τῆς δόξης σου, ἀξιωθῶ τῆς σκέπης τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ μὴ ὡς δοῦλος ἁμαρτίας ἀποδόκιμος γένωμαι.
Ναί, Δέσποτα, παντοδύναμε Κύριε, εἰσάκουσον τῆς δεήσεώς μου, σὺ γὰρ εἶ ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι, καὶ τὴν παρὰ σοῦ πάντες ἐπιζητοῦμεν βοήθειαν, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Εἰ βούλει, λέγε την εὐχην Η´ (σ. 106)

Ὁ διάκονος θυμιᾷ.
Εἶτα λέγει ὁ ἱερεὺς προσκυνῶν·

Τῷ φοβερῷ καὶ ἀοράτῳ, ἐπὶ θρόνου ἀοράτου καθημένῳ, τῷ βασιλεῖ τῶν ὅλων, δῶρά σοι προσφέρομεν, ᾧ λατρεύουσι τὰ πολυόμματα χερουβὶμ καὶ τὰ ἑξαπτέρυγα σεραφίμ, ἀκαταπαύστῳ φωνῇ βοῶντα καὶ λέγοντα· Ἅγιος, ἅγιος, ἅγιος Κύριος, ὁ τῆς δόξης βασιλεύς.

Ὁ διάκονος· Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν καὶ ἐπάρθητε πύλαι αἰώνιοι καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.

Ὁ ἱερεύς· Ἅγιος, ἅγιος, ἅγιος Κύριος, ὁ τῆς δόξης βασιλεύς.

Ὁ διάκονος· Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμην.

Ὁ ἱερεύς· Ἅγιος, ἅγιος, ἅγιος Κύριος, ὁ τῆς δόξης βασιλεύς.

Καὶ προσάγονται τὰ θεῖα δῶρα τῷ θυσιαστηρίῳ.

{Ὁ δὲ ἱερεὺς προσμένει τὴν τῶν ἁγίων ἔλευσιν.}

Εἰ βούλει, λέγε την εὐχην Θ´ (σσ. 106-107)

## ◂ ΤΟ ΣΥΜΒΟΛΟΝ ΤΗΣ ΠΙΣΤΕΩΣ ▸

Ὁ διάκονος· Ἐν σοφίᾳ πρόσσχωμεν.

Ὁ λαός· Πιστεύω εἰς ἕνα Θεόν...

Ὁ διάκονος· Στῶμεν καλῶς· τοῦ Κυρίου δεηθῶμεν.
Ὁ λαός· Κύριε, ἐλέησον.
Εὐχὴ πρὸ τοῦ ἀσπασμοῦ, τοῦ ἁγίου ἀποστόλου Ἰακώβου·

Ὁ πάντων Θεὸς καὶ Δεσπότης, ἀξίους ἡμᾶς ἀπέργασαι τῆς ὥρας ταύτης τοὺς ἀναξίους, φιλάνθρωπε, ἵνα καθαρεύοντες ἀπὸ παντὸς δόλου καὶ πάσης ὑποκρίσεως, ἑνωθῶμεν ἀλλήλοις τῷ τῆς εἰρήνης καὶ τῆς ἀγάπης συνδέσμῳ, βεβαιούμενοι τῷ τῆς σῆς θεογνωσίας ἁγιασμῷ διὰ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἐκφώνησις·

Ὅτι Θεὸς εἰρήνης καὶ ἀγάπης καὶ φιλανθρωπίας ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.
Ὁ ἱερεύς· ✠ Εἰρήνη πᾶσι.
Ὁ λαός· Καὶ τῷ πνεύματί σου.
Ὁ διάκονος· Ἀσπασώμεθα ἀλλήλους ἐν φιλήματι ἁγίῳ.

Ὁ λαός· Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό.

Καὶ συνάπτει· Ὡς ἐν μέσῳ τῶν μαθητῶν σου παρεγένου, Σωτήρ, τὴν εἰρήνην διδοὺς αὐτοῖς, ἐλθὲ καὶ μεθ' ἡμῶν καὶ σῶσον ἡμᾶς.

Καὶ ἀσπάζονται ἀλλήλους οἱ ἐν τῷ βήματι.

## ◂ ΚΕΦΑΛΟΚΛΙΣΙΑ Β΄ ▸

Μετὰ δὲ τὸ δοθῆναι τὴν ἀγάπην λέγει ὁ διάκονος·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ λαός· Σοί, Κύριε.

Εὐχὴ κεφαλοκλισίας β΄·

Ὁ μόνος Κύριος καὶ ἐλεήμων Θεός, τοῖς κλίνουσι τοὺς ἑαυτῶν αὐχένας ἐνώπιον τοῦ ἁγίου σου θυσιαστηρίου καὶ ἐπιζητοῦσι τὰς παρὰ σοῦ πνευματικὰς δωρεάς, ἐξαπόστειλον τὴν χάριν σου τὴν ἀγαθὴν καὶ εὐλόγησον πάντας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν.

Ἐκφώνησις·

Ὅτι αἰνετὸν καὶ προσκυνητὸν ὑπάρχει τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ

Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

# ΜΕΡΟΣ Γ΄
# ΠΡΟΣΚΟΜΙΔΗ

## ◂ ΚΑΘΟΛΙΚΗ – ΕΥΧΗ ΠΡΟΣΚΟΜΙΔΗΣ ▸

Ὁ διάκονος λέγει τῷ ἱερεῖ ἠρέμα, προσκυνῶν·
Κύριε, εὐλόγησον.

Ὁ δέ· Ὁ Κύριος προσδέξοιτο ✠ τὴν διακονίαν σου {ἢ ὑμῶν}.

Καὶ ἄρχεται ὁ διάκονος τῆς καθολικῆς·

Ἔτι καὶ ἔτι τοῦ Κυρίου δεηθῶμεν.

Ὁ λαός· Κύριε, ἐλέησον.

Σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ Θεοῦ φιλανθρωπίας, ὁμονοίας καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης καὶ εὐσταθείας τοῦ σύμπαντος κόσμου καὶ ἑνώσεως τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας καὶ ἐνδόξου, μόνης, ἀποστολικῆς καὶ καθολικῆς ἐκκλησίας, τῆς ἀπὸ γῆς περάτων μέχρι περάτων αὐτῆς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν ὁσίων πατέρων ἡμῶν ἐπισκόπων, πρεσβυτέρων, διακόνων, μοναχῶν καὶ παντὸς ἐκκλησιαστικοῦ τάγματος καὶ τοῦ φιλοχρίστου λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καὶ παντὸς τοῦ κλήρου αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

[Ὑπὲρ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ καθηγουμένου (δεῖνος) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος, τοῦ Κυρίου δεηθῶμεν.]

Ὑπὲρ τῆς εἰρήνης τῆς πατρίδος ἡμῶν, καταστάσεως τῶν ὁρίων αὐτῆς, γαλήνης τῶν ἀρχόντων, ἀποκρούσεως τῶν ἐχθρῶν, ἀναρρύσεως τῶν αἰχμαλώτων, καιρῶν εἰρηνικῶν καὶ εὐσεβείας τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας τοῦ Θεοῦ πόλεως Ἱερουσαλήμ, καὶ τῆς μονῆς (ἢ πόλεως) ταύτης, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν πίστει καὶ εὐλαβείᾳ Χριστοῦ οἰκούντων ἐν αὐταῖς, εἰρήνης καὶ ἀσφαλείας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν ἐλθόντων καὶ ἐρχομένων ἀδελφῶν ἡμῶν τοῦ εὔξασθαι καὶ προσκυνῆσαι ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ ταύτῃ καὶ τοῦ Θεοῦ δεομένων,

σπουδῆς, καμάτου καὶ προθυμίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων, χηρῶν, ὀρφανῶν, ξένων καὶ ἐπιδεομένων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν ἐν γήρᾳ καὶ ἀδυναμίᾳ ὄντων, νοσούντων καὶ ὑπὸ πνευμάτων ἀκαθάρτων ὀχλουμένων, τῆς παρὰ τοῦ Θεοῦ ταχείας ἰάσεως καὶ σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, καμνόντων, ξενιτευόντων καὶ τῶν ἐν αἰχμαλωσίαις καὶ ἐξορίαις καὶ φυλακαῖς ὄντων ἀδελφῶν ἡμῶν, σωτηρίας καὶ ἐπιστροφῆς αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πάσης ψυχῆς χριστιανῆς θλιβομένης καὶ καταπονουμένης, ἐλέους Θεοῦ ἐπιδεομένης, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν ἐν ἐρημίαις καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ἀγωνιζομένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, καὶ τῶν ἐν παρθενίᾳ καὶ ἁγνείᾳ καὶ σεμνῷ γάμῳ διαγόντων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν εὔξασθαι ὑπὲρ αὐτῶν,

τοῦ μνημονευθῆναι

τοῦ μνημονευθῆναι καὶ ἐλεηθῆναι αὐτοὺς παρὰ Κυρίου, δεηθῶμεν.

Ὑπὲρ μνήμης καὶ ἀναπαύσεως τῶν ψυχῶν τῶν τετελειωμένων ἐπισκόπων, πρεσβυτέρων, διακόνων, μοναχῶν καὶ φιλοχρίστων λαϊκῶν, καὶ τῇ ἁγίᾳ ἐκκλησίᾳ ταύτῃ ἀνατιθέντων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, ὄμβρων εἰρηνικῶν, καρπῶν εὐφορίας, τελείας εὐετηρίας καὶ ὑπὲρ τοῦ στεφάνου τοῦ ἐνιαυτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐπρόσδεκτον γενέσθαι τὴν δέησιν ἡμῶν, ὑπὲρ ἀφέσεως ἁμαρτιῶν, συγχωρήσεως πλημμελημάτων καὶ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ μακαρίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων ἀποστόλων, ἐνδόξων προφητῶν, καλλινίκων μαρτύρων καὶ θεοφόρων πατέρων, τοῦ ἁγίου Ἰακώβου τοῦ ἀποστόλου καὶ ἀδελφοῦ τοῦ Κυρίου, (τῶν ἁγίων τοῦ ναοῦ καὶ τῆς ἡμέρας) καὶ πάντων τῶν ἁγίων καὶ δικαίων

μνημονεύσωμεν, ὅπως εὐχαῖς καὶ πρεσβείαις αὐτῶν οἱ πάντες ἐλεηθῶμεν.

Καὶ ὑπὲρ τῶν προκειμένων ἁγίων δώρων, καὶ τοῦ παρεστῶτος καὶ προσφέροντος αὐτὰ τιμίου ἱερέως, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Ὁ λαός· Κύριε, ἐλέησον (τρίς).

{Ὁ ἱερεὺς λέγει τοῖς συλλειτουργοῦσι·

Παρακαλῶ ὑμᾶς, πατέρες καὶ ἀδελφοί, εὔξασθε ὑπὲρ ἐμοῦ.

Οἱ δέ· Ὁ Κύριος εἴη μετὰ σοῦ.}

Εὐχὴ τῆς προσκομιδῆς τοῦ ἁγίου Ἰακώβου·

Ὁ Θεός, ὁ διὰ πολλὴν καὶ ἄφατόν σου φιλανθρωπίαν ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον, ἵνα τὸ πεπλανημένον ἐπαναστρέψῃ πρόβατον, μὴ ἀποστραφῇς ἡμᾶς τοὺς ἐγχειροῦντας προσφέρειν σοι τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν, οὐ γὰρ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν πεποιθότες ἐσμέν, ἀλλ᾿ ἐπὶ τῷ ἐλέει σου τῷ ἀγαθῷ, δι᾿ οὗ τὸ γένος ἡμῶν περιποιῇ· ἱκετεύομεν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, ἵνα μὴ γένηται εἰς κατάκριμα τῷ λαῷ σου τὸ οἰκονομηθὲν ἡμῖν τοῦτο πρὸς σωτηρίαν μυστήριον, ἀλλ᾿ εἰς ἐξάλειψιν ἁμαρτιῶν, εἰς

ἀνανέωσιν ψυχῶν

ἀνανέωσιν ψυχῶν καὶ σωμάτων, εἰς εὐαρέστησιν σήν.

Καὶ ἐκφωνεῖ·

Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

Ὁ ἱερεύς· ✠ Εἰρήνη πᾶσι.

Ὁ λαός· Καὶ τῷ πνεύματί σου.

## ◂ ΑΓΙΑ ΑΝΑΦΟΡΑ ▸

Ὁ διάκονος, τρίτον ἀνασείσας τὸν ἀέρα, αἴρει αὐτὸν λέγων μεγαλοφώνως·

Στῶμεν καλῶς, στῶμεν εὐλαβῶς, στῶμεν μετὰ φόβου·

Πρόσσχωμεν τῇ ἁγίᾳ ἀναφορᾷ, ἐν εἰρήνῃ τῷ Θεῷ προσφέρειν.

Ὁ λαός· Ἔλεος, εἰρήνη, θυσία αἰνέσεως.

Ὁ δὲ ἱερεὺς κλινόμενος λέγει τὴν εὐχήν·

Εἰ βούλει, λέγε την εὐχὴν Ι' η ΙΑ' (σσ. 107-109)

Κύριε, βασιλεῦ τῶν αἰώνων, Θεὸς μέγας καὶ ἔνδοξος, κλῖνον τὸ οὖς σου ἐν τῇ ὥρᾳ

ταύτῃ καὶ ἐπάκουσόν μου τοῦ ἁμαρτωλοῦ, καὶ πρόσδεξαι τὴν προκειμένην ἁγίαν θυσίαν ταύτην ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς, Δαβὶδ τὴν μετάνοιαν, ὡς προσεδέξω ἐκ τῶν χειρῶν τῶν ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν· καὶ νῦν ὁ αὐτὸς Θεὸς εἶ, ἐλέησον ἡμᾶς διὰ τὸ ὄνομά σου τὸ ἅγιον.

Καὶ ἐκφωνεῖ·

Ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός ✠ καὶ ἡ χάρις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ✠ καὶ ἡ κοινωνία τοῦ παναγίου Πνεύματος ✠ εἴη μετὰ πάντων ὑμῶν.

Ὁ λαός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ ἱερεύς·

Ἄνω σχῶμεν [τὸν νοῦν καὶ] τὰς καρδίας.

Ὁ λαός· Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ ἱερεύς·

Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ λαός· Ἄξιον καὶ δίκαιον.

Ὁ ἱερεὺς ἄρχεται τῆς ἁγίας ἀναφορᾶς·

Ὡς ἀληθῶς ἄξιόν ἐστι

Ὡς ἀληθῶς ἄξιόν ἐστι καὶ δίκαιον, πρέπον τε καὶ ὀφειλόμενον, σὲ αἰνεῖν, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σὲ δοξολογεῖν, σοὶ εὐχαριστεῖν, τῷ πάσης κτίσεως ὁρατῆς τε καὶ ἀοράτου δημιουργῷ, τῷ θησαυρῷ τῶν αἰωνίων ἀγαθῶν, τῇ πηγῇ τῆς ζωῆς, τῷ πάντων Θεῷ καὶ Δεσπότῃ·
Ὃν ὑμνοῦσιν οἱ οὐρανοὶ καὶ οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ πᾶσαι αἱ δυνάμεις αὐτῶν, ἥλιός τε καὶ σελήνη καὶ πᾶς ὁ τῶν ἄστρων χορός, γῆ, θάλασσα καὶ πάντα τὰ ἐν αὐταῖς, Ἱερουσαλὴμ ἡ ἐπουράνιος, πανήγυρις καὶ ἐκκλησία πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς, πνεύματα δικαίων καὶ προφητῶν, ψυχαὶ ἀποστόλων καὶ μαρτύρων·
Ἄγγελοι, ἀρχάγγελοι, θρόνοι, κυριότητες, ἀρχαί τε καὶ ἐξουσίαι καὶ δυνάμεις, χερουβὶμ τὰ πολυόμματα καὶ τὰ ἑξαπτέρυγα σεραφίμ, ἃ ταῖς μὲν δυσὶ πτέρυξι κατακαλύπτει τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶν ἱπτάμενα, κέκραγεν ἕτερον πρὸς τὸ ἕτερον ἀκαταπαύστοις στόμασιν, ἀσιγήτοις θεολογίαις·
Ἐκφώνως·

Τὸν ἐπινίκιον ὕμνον τῆς μεγαλοπρεποῦς σου δόξης λαμπρᾷ τῇ φωνῇ ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα·

Ὁ λαός· Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ὁ διάκονος αἴρει τὸν ἀστερίσκον. Ὁ ἱερεύς·

Ἅγιος εἶ ✠ βασιλεῦ τῶν αἰώνων, καὶ πάσης ἁγιωσύνης κύριος καὶ δοτήρ.

Ἅγιος ✠ καὶ ὁ μονογενής σου Υἱός, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, δι᾽ οὗ τὰ πάντα ἐποίησας.

Ἅγιον ✠ καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, τὸ ἐρευνῶν τὰ πάντα, καὶ τὰ βάθη σοῦ τοῦ Θεοῦ.

Καὶ κλινάμενος ἐπεύχεται·

Ἅγιος εἶ, παντοκράτορ καὶ παντοδύναμε, φοβερὲ καὶ ἀγαθέ, ὁ συμπαθὴς μάλιστα περὶ τὸ πλάσμα τὸ σόν· ὁ ποιήσας ἀπὸ γῆς ἄνθρωπον κατ᾽ εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ χαρισάμενος αὐτῷ τὴν τοῦ παραδείσου ἀπόλαυσιν.

Παραβάντα δὲ τὴν ἐντολήν σου καὶ ἐκπεσόντα,

τοῦτον οὐ παρεῖδες

τοῦτον οὐ παρεῖδες, οὐδὲ ἐγκατέλιπες, ἀγαθέ, ἀλλ' ἐπαίδευσας αὐτὸν ὡς εὔσπλαγχνος πατήρ, ἐκάλεσας αὐτὸν διὰ νόμου, ἐπαιδαγώγησας αὐτὸν διὰ τῶν προφητῶν.

Ὕστερον δὲ αὐτὸν τὸν μονογενῆ σου Υἱὸν ἐξαπέστειλας εἰς τὸν κόσμον, ἵνα τὴν σὴν ἀνανεώσῃ καὶ ἀνεγείρῃ εἰκόνα· ὃς κατελθὼν ἐκ τῶν οὐρανῶν καὶ σαρκωθεὶς ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Θεοτόκου καὶ ἀειπαρθένου, [γεννηθεὶς δὲ ἐν Βηθλεὲμ τῆς Ἰουδαίας καὶ βαπτισθεὶς ἐν τῷ ἁγίῳ Ἰορδάνῃ ὑπὸ Ἰωάννου,] συναναστραφείς τε τοῖς ἀνθρώποις, πάντα ᾠκονόμησε πρὸς σωτηρίαν τοῦ γένους ἡμῶν.

Μέλλων δὲ τὸν ἑκούσιον καὶ ζωοποιὸν θάνατον ὁ ἀναμάρτητος ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν καταδέχεσθαι, ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς,

[Καὶ λαβὼν τὸν ἄρτον λέγει·]

Λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων καὶ ἀμώμων αὐτοῦ χειρῶν, ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ ἀναδείξας σοὶ τῷ Θεῷ καὶ Πατρί, ✠ εὐχαριστήσας, ✠ εὐλογήσας, ✠ ἁγιάσας, κλάσας, μετέδωκε τοῖς μακαρίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών·

Καὶ [τιθεὶς αὐτὸν] ἐκφωνεῖ·

Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ λαός· Ἀμήν.

Ὁ ἱερεὺς [λαβὼν τὸ ποτήριον] λέγει·

Ὡσαύτως μετὰ τὸ δειπνῆσαι, λαβὼν ποτήριον κεκραμένον ἐξ οἴνου καὶ ὕδατος, ✠ εὐχαριστήσας, ✠ εὐλογήσας, ✠ ἁγιάσας, μετέδωκε τοῖς μακαρίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών·

Καὶ [τιθεὶς αὐτὸ] ἐκφωνεῖ·

Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ λαός· Ἀμήν.

Ὁ ἱερεύς·

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ.

Μεμνημένοι οὖν καὶ ἡμεῖς τῶν ζωοποιῶν αὐτοῦ παθημάτων, καὶ τοῦ σταυροῦ, καὶ τῆς ταφῆς, καὶ τῆς τριημέρου ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς

ἀνόδου

ἀνόδου, καὶ τῆς ἐκ δεξιῶν σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς καθέδρας, καὶ τῆς δευτέρας ἐνδόξου καὶ φοβερᾶς αὐτοῦ παρουσίας, ὅταν ἔλθῃ κρῖναι ζῶντας καὶ νεκρούς, ὅταν μέλλῃ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ,

Προσφέρομέν σοι, Δέσποτα, τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν δεόμενοι, ἵνα μὴ κατὰ τὰς ἁμαρτίας ἡμῶν ποιήσῃς μεθ' ἡμῶν, μηδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταποδώσῃς ἡμῖν, ἀλλὰ κατὰ τὴν σὴν ἐπιείκειαν καὶ ἄφατον φιλανθρωπίαν ὑπερβὰς καὶ ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον, τῶν σῶν ἱκετῶν, χαρίσῃ ἡμῖν τὰ οὐράνια καὶ αἰώνιά σου δωρήματα, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασας, ὁ Θεός, τοῖς ἀγαπῶσί σε διὰ τὴν σὴν εὐσπλαγχνίαν·

Ἐκφώνως·

Ὁ γὰρ λαός σου καὶ ἡ ἐκκλησία σου ἱκετεύουσί σε·

Ὁ λαός· Ἐλέησον ἡμᾶς, ὁ Θεός, ὁ Πατὴρ ὁ παντοκράτωρ.

Ὁ ἱερεύς·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, ὁ Πατὴρ ὁ παντοκράτωρ· ἐλέησον ἡμᾶς, ὁ Θεός, ὁ σωτὴρ ἡμῶν· ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· καὶ ἐξαπόστειλον ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα ἅγια δῶρα ταῦτα τὸ Πνεῦμά σου τὸ Ἅγιον· τὸ κύριον καὶ ζωοποιόν, τὸ σύνθρονον σοί, τῷ Θεῷ καὶ Πατρί, καὶ τῷ Υἱῷ, τὸ συμβασιλεῦον, τὸ συναΐδιον καὶ ὁμοούσιον, τὸ λαλῆσαν ἐν νόμῳ καὶ προφήταις καὶ τῇ καινῇ διαθήκῃ, τὸ καταβὰν ἐν εἴδει περιστερᾶς ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν τῷ Ἰορδάνῃ ποταμῷ, τὸ καταβὰν ἐπὶ τοὺς ἁγίους ἀποστόλους ἐν εἴδει πυρίνων γλωσσῶν ἐν τῷ ὑπερῴῳ τοῦ μυστικοῦ, ἐν τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς·

Ἐκφώνως·

Ἵνα, ἐπιφοιτῆσαν καὶ νῦν τῇ ἀγαθῇ καὶ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ, ἁγιάσῃ καὶ ποιήσῃ τὸν μὲν ἄρτον τοῦτον ✠ σῶμα τίμιον Χριστοῦ·

Ὁ λαός· Ἀμήν.

Ὁ ἱερεὺς ἐκφώνως·

Καὶ τὸ ποτήριον τοῦτο ✠ αἷμα ἀληθινὸν Χριστοῦ·

Ὁ λαός· Ἀμήν.

Ὁ ἱερεύς·

Ἵνα γένωνται πᾶσι

Ἵνα γένωνται πᾶσι τοῖς ἐξ αὐτῶν μεταλαμβάνουσιν εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, εἰς ἁγιασμὸν ψυχῶν καὶ σωμάτων, εἰς καρποφορίαν ἔργων ἀγαθῶν, εἰς στηριγμὸν τῆς ἁγίας ἐκκλησίας σου, ἣν ἐθεμελίωσας ἐπὶ τὴν πέτραν τῆς πίστεως, ἵνα πύλαι ᾅδου μὴ κατισχύσωσιν αὐτῆς, ῥυόμενος αὐτὴν ἀπὸ πάσης αἱρέσεως καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν μέχρι τῆς συντελείας τοῦ αἰῶνος. ✠

Ὁ λαός· Ἀμήν.

◂ ΜΝΗΜΟΝΕΥΣΙΣ ΖΩΝΤΩΝ ▸

Ἱερεῦ, παράδραμε ↓

Ὁ διάκονος σχολαίτερον·

Ὑπὲρ σωτηρίας, εἰρήνης καὶ παρὰ Θεοῦ ἀντιλήψεως τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καὶ πάντων τῶν πατριαρχῶν καὶ ἐπισκόπων, τῶν ἐν πάσῃ τῇ οἰκουμένῃ ὀρθοτομούντων τὸν λόγον τῆς ἀληθείας, καὶ παντὸς ἐκκλησιαστικοῦ τάγματος.

Καὶ ὑπὲρ τοῦ παρεστῶτος καὶ προσφέροντος τὰ ἅγια δῶρα ταῦτα τιμίου ἱερέως (δεῖνος) καὶ τῆς ἐν Χριστῷ ἱερωσύνης αὐτοῦ {τῶν συμπαρόντων ἱερέων καὶ διακόνων}.

Ὑπὲρ πρεσβυτέρων, διακόνων, διακονισσῶν, ὑποδιακόνων, ἀναγνωστῶν, ψαλτῶν, ἑρμηνευτῶν, ἐπορκιστῶν, μοναζόντων, παρθένων, χηρῶν, ὀρφανῶν, ἐγκρατευομένων, ἐν σεμνῷ γάμῳ διαγόντων καὶ τῶν φιλοχρίστων.

Ἔτι ὑπὲρ εἰρήνης καὶ καταστάσεως τῶν εὐσεβῶν καὶ ὀρθοδόξων ἀρχόντων ἡμῶν, πάντων τῶν ἐν ὑπεροχῇ καὶ ἐξουσίᾳ ὄντων, καὶ τοῦ φιλοχρίστου στρατοῦ.

Ὑπὲρ τῶν ἐν αἰχμαλωσίαις καὶ ἀσθενείαις, θλίψεσι καὶ ἀνάγκαις ὄντων πατέρων καὶ ἀδελφῶν ἡμῶν.

Καὶ ὑπὲρ εἰρήνης καὶ εὐσταθείας τοῦ σύμπαντος κόσμου καὶ τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, καὶ ὑπὲρ ὧν ἕκαστος προσήνεγκεν, ἢ κατὰ διάνοιαν ἔχει, καὶ τοῦ περιεστῶτος λαοῦ, καὶ πάντων καὶ πασῶν.

Ὁ λαός·

Καὶ πάντων καὶ πασῶν.
Μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν.

Ὁ δὲ ἱερεὺς κλινάμενος ἐπεύχεται·

Ἱερεῦ, σύναψον

Προσφέρομέν σοι, Δέσποτα, τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν, ὑπὲρ τῶν ἁγίων σου τόπων, οὓς ἐδόξασας τῇ ἐπιφανείᾳ τοῦ

Χριστοῦ σου

Χριστοῦ σου· προηγουμένως ὑπὲρ τῆς ἁγίας καὶ ἐνδόξου Σιών, τῆς μητρὸς πασῶν τῶν ἐκκλησιῶν, καὶ ὑπὲρ τῆς κατὰ πᾶσαν τὴν οἰκουμένην ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας· πλουσίως τὰς δωρεὰς τοῦ Ἁγίου σου Πνεύματος ἐπιχορήγησον αὐτῇ, Δέσποτα.

Μνήσθητι, Κύριε, τῶν ἐν αὐτῇ ἁγίων πατέρων ἡμῶν, ἐπισκόπων ὀρθοδόξων, τῶν ἐν πάσῃ τῇ οἰκουμένῃ ὀρθοτομούντων τὸν λόγον τῆς ἀληθείας· ἐν πρώτοις τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), γῆρας αὐτῷ τίμιον χάρισαι, μακροχρόνιον αὐτὸν διαφύλαξον, ποιμαίνοντα τὸν λαόν σου ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

[Μνήσθητι, Κύριε, τοῦ πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου.]

Μνήσθητι, Κύριε, τοῦ ἐνθάδε τιμίου πρεσβυτερίου καὶ τοῦ ἁπανταχῇ, τῆς ἐν Χριστῷ διακονίας, παντὸς ἐκκλησιαστικοῦ τάγματος, [τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος,] καὶ τοῦ φιλοχρίστου λαοῦ.

Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἐλαχίστου δούλου σου, καὶ ἐπίσκεψαί με ἐν ἐλέει σου, καὶ ἀθῴωσόν με ἐκ τῶν καταδιωκόντων με, καὶ εἴ τι ἥμαρτον,

συγχώρησον· καὶ ἐπειδὴ ἐπλεόνασεν ἐν ἐμοὶ ἡ ἁμαρτία, ὑπερπερισσεύσει σου ἡ χάρις.

Μνήσθητι, Κύριε, τοῦ ἁγίου ὄρους τούτου (ἢ τῆς ἁγίας μονῆς ταύτης, ἢ τῆς πόλεως ταύτης) καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν ἐν πίστει καὶ εὐλαβείᾳ Χριστοῦ οἰκούντων ἐν αὐταῖς, εἰρήνης καὶ ἀσφαλείας αὐτῶν.

Μνήσθητι, Κύριε, τῶν εὐσεβῶν ἀρχόντων ἡμῶν καὶ τοῦ φιλοχρίστου στρατοῦ, [ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ καὶ ἀνάστηθι εἰς βοήθειαν αὐτῶν· ὑπόταξον αὐτοῖς πάντα τὰ βάρβαρα ἔθνη,] ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Μνήσθητι, Κύριε, τῶν ἐν γήρᾳ καὶ ἀδυναμίᾳ ὄντων, νοσούντων, καμνόντων καὶ ὑπὸ πνευμάτων ἀκαθάρτων ὀχλουμένων, καὶ πάσης ψυχῆς χριστιανῆς θλιβομένης καὶ καταπονουμένης, ἐλέους καὶ βοηθείας παρὰ σοῦ ἐπιδεομένης.

Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, ξενιτευόντων, κοπιώντων καὶ τῶν ἐν δεσμοῖς καὶ φυλακαῖς, αἰχμαλωσίαις καὶ ἐξορίαις ὄντων πατέρων καὶ ἀδελφῶν ἡμῶν.

Μνήσθητι πάντων εἰς ἀγαθόν, πάντας ἐλέησον,

Δέσποτα, πᾶσιν ἡμῖν διαλλάγηθι· εἰρήνευσον τὰ πλήθη τοῦ λαοῦ σου, διασκέδασον τὰ σκάνδαλα, κατάργησον τοὺς πολέμους, τὴν σὴν εἰρήνην καὶ τὴν σὴν ἀγάπην χάρισαι ἡμῖν, ὁ Θεός, ὁ σωτὴρ ἡμῶν.

Μνήσθητι, Κύριε, εὐκρασίας ἀέρων, ὄμβρων εἰρηνικῶν, καρπῶν εὐφορίας, τελείας εὐετηρίας καὶ τοῦ στεφάνου τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου· οἱ γὰρ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.

Μνήσθητι, Κύριε, καὶ τῶν τὰς προσφορὰς ταύτας προσενεγκάντων ἐν τῇ σήμερον ἡμέρᾳ ἐπὶ τὸ ἅγιόν σου θυσιαστήριον, καὶ ὑπὲρ ὧν ἕκαστος προσήνεγκεν, ἢ κατὰ διάνοιαν ἔχει, καὶ τῶν ἀρτίως σοι ἀναγινωσκομένων.

[Ὧδε μνημονεύει οὓς θέλει ζῶντας. Εἶτα λέγει·]

Τούτων πάντων μνήσθητι, Κύριε, ὧν ἐμνήσθημεν καὶ ὧν οὐκ ἐμνήσθημεν· ἀντίδος αὐτοῖς ἀντὶ τῶν ἐπιγείων τὰ οὐράνια, ἀντὶ τῶν φθαρτῶν τὰ ἄφθαρτα, ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, κατὰ τὸ ἐπάγγελμα τοῦ Χριστοῦ σου.

Καὶ ἄρχεται μνημονεύειν τῶν κοιμηθέντων·

Ἐπειδὴ δὲ ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἔχεις, Κύριε, ἔτι μνησθῆναι καταξίωσον καὶ τῶν ἀπ᾿ αἰῶνός σοι εὐαρεστησάντων κατὰ γενεὰν καὶ γενεάν· πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, μαρτύρων, δικαίων καὶ ὁμολογητῶν.

Τῶν ψαλτῶν σιγησάντων, αὖθις λέγει ὁ διάκονος·

Ἱερεῦ, παράδραμε

Τοῦ ἁγίου καὶ μακαρίου Ἰωάννου, τοῦ προδρόμου καὶ βαπτιστοῦ.

Τῶν ἁγίων ἀποστόλων, προφητῶν, μαρτύρων, πατριαρχῶν καὶ δικαίων.

Τοῦ ἁγίου ἀποστόλου Ἰακώβου, ἀδελφοῦ τοῦ Κυρίου.

Τοῦ ἁγίου Στεφάνου, τοῦ πρωτοδιακόνου καὶ πρωτομάρτυρος, καὶ πάντων τῶν ἁγίων μαρτύρων καὶ ὁμολογητῶν τῶν διὰ Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν μαρτυρησάντων τὴν καλὴν ὁμολογίαν.

Τῶν ἁγίων διδασκάλων, τῶν ἁγίων μεγάλων καὶ οἰκουμενικῶν ἑπτὰ συνόδων, τῶν ἁγίων πατέρων ἡμῶν ἀναχωρητῶν καὶ ἐρημιτῶν.

Ὑπὲρ ἐπισκόπων, πρεσβυτέρων, διακόνων, ὑποδιακόνων, ἀναγνωστῶν, ἑρμηνευτῶν, ἐπορκιστῶν,

ψαλτῶν

ψαλτῶν καὶ πάντων τῶν ἐν τῇ κοινωνίᾳ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τελειωθέντων.

Τῶν εὐσεβῶν καὶ πιστῶν βασιλέων, τῶν ἐν πίστει Χριστοῦ κοιμηθέντων ἀρχόντων καὶ ἡγεμόνων, καὶ τῶν φιλοχρίστων λαϊκῶν.

Ὁ ἱερεὺς ἐκφωνεῖ·

Ιερεῦ. σύναψον

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου καὶ μακαρίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Καὶ λέγει ἐν μυστηρίῳ·

Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ (τρίς).

Ὁ λαός· Θεοτόκε παρθένε, χαῖρε, κεχαριτωμένη Μαρία, ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.

Ἢ ἕτερόν τινα ὕμνον τῆς Θεομήτορος.

Ὁ ἱερεὺς ἐπεύχεται·

Τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ·

Τῶν ἁγίων ἀποστόλων·

Πέτρου, Παύλου, Ἀνδρέου, Ἰακώβου, Ἰωάννου, Φιλίππου, Βαρθολομαίου, Θωμᾶ, Ματθαίου, Ἰακώβου, Σίμωνος, Ἰούδα, Ματθία· Μάρκου καὶ Λουκᾶ τῶν εὐαγγελιστῶν.

Τῶν ἁγίων προφητῶν καὶ πατριαρχῶν καὶ δικαίων·

Μωσέως, Δαβίδ, Ἠλιού, Ἠσαΐου, Δανιὴλ καὶ Συμεών.

Τοῦ ἁγίου Στεφάνου, τοῦ πρωτοδιακόνου καὶ πρωτομάρτυρος, καὶ πάντων τῶν ἁγίων μαρτύρων [καὶ νεομαρτύρων] καὶ ὁμολογητῶν τῶν διὰ Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν μαρτυρησάντων τὴν καλὴν ὁμολογίαν·

Γεωργίου, Δημητρίου, Προκοπίου, Θεοδώρου, Παντελεήμονος, τῶν Τεσσαράκοντα, Θέκλης, Αἰκατερίνης καὶ τῶν Νηπίων τῶν ὑπὸ Ἡρῴδου ἀναιρεθέντων.

Τῶν ἁγίων μυροφόρων γυναικῶν.

Μνήσθητι, Κύριε, τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἐπισκόπων, τῶν ἀπὸ τοῦ ἁγίου ἀποστόλου Ἰακώβου, ἀδελφοῦ τοῦ Κυρίου καὶ πρώτου τῶν ἱεραρχῶν, μέχρι τοῦ νῦν ὀρθοδόξως ἐπισκοπησάντων τῆς ἐπαρχίας ἡμῶν (ἢ τῆς ἁγίας τοῦ Θεοῦ ἡμῶν πόλεως Ἱερουσαλήμ).

Μνήσθητι, Κύριε, τῶν ἁγίων πατέρων ἡμῶν καὶ διδασκάλων·

Κλήμεντος, Ἰγνατίου, Διονυσίου, Εἰρηναίου, Νικολάου, Ἀθανασίου, Βασιλείου, Γρηγορίου, Ἰωάννου, Αὐγουστίνου, Κυρίλλου, Λέοντος, Γρηγορίου τοῦ Παλαμᾶ καὶ Νεκταρίου.

Μνήσθητι, Κύριε, τῶν ἁγίων μεγάλων καὶ οἰκουμενικῶν

ἑπτὰ συνόδων

ἑπτὰ συνόδων, καὶ λοιπῶν ἁγίων συνόδων καὶ ἐπισκόπων τῶν ἐν πάσῃ τῇ οἰκουμένῃ ὀρθοτομησάντων τὸν λόγον τῆς ἀληθείας.

Μνήσθητι, Κύριε, τῶν ἁγίων πατέρων ἡμῶν ἀσκητῶν, ἀναχωρητῶν καὶ ἐρημιτῶν·

Ἀντωνίου, Παχωμίου, Εὐθυμίου, Σάβα, Συμεών· τῆς ὁσίας μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας, καὶ τῶν ἁγίων πατέρων ἡμῶν τῶν ὑπὸ τῶν βαρβάρων ἐν τῷ ἁγίῳ ὄρει τῷ Σινᾷ καὶ ἐν τῇ Ραϊθοῦ ἀναιρεθέντων.

[Μνήσθητι, Κύριε, καὶ τῶν νεοφάνων ἁγίων·]

Ἰωσὴφ τοῦ Ἡσυχαστοῦ, Σιλουανοῦ, Πορφυρίου καὶ Παϊσίου.

Μνήσθητι, Κύριε, (τῶν ἁγίων τοῦ ναοῦ καὶ τῆς ἡμέρας).

Οὐχ ὅτι ἡμεῖς ἐσμὲν ἄξιοι μνημονεύειν τῆς ἐκείνων μακαριότητος, ἀλλ' ἵνα καὶ αὐτοὶ παρεστῶτες τῷ φοβερῷ καὶ φρικτῷ σου βήματι, ἀντιμνημονεύσωσι τῆς ἡμῶν ἐλεεινότητος.

Μνήσθητι, Κύριε, πρεσβυτέρων, διακόνων, διακονισσῶν, ὑποδιακόνων, ἀναγνωστῶν, μοναχῶν, ψαλτῶν, ἑρμηνευτῶν, ἐπορκιστῶν, φιλοθέων παρθένων, τῶν ἐν σεμνῷ γάμῳ διαμεινάντων καὶ τῶν ἐν τῇ κοινωνίᾳ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τελειωθέντων.

Μνήσθητι, Κύριε, τῶν εὐσεβῶν καὶ πιστῶν βασιλέων·
Κωνσταντίνου, Ἑλένης, Θεοδοσίου, Μαρκιανοῦ, Πουλχερίας, Λέοντος, Ἰουστινιανοῦ καὶ τῶν κατ᾽ αὐτοὺς εὐσεβῶς καὶ πιστῶς βασιλευσάντων.

Καὶ πάντων τῶν ἐν πίστει καὶ σφραγῖδι Χριστοῦ προκοιμηθέντων λαϊκῶν, καὶ ὑπὲρ ὧν ἕκαστος προσήνεγκεν, ἢ κατὰ διάνοιαν ἔχει, καὶ τῶν ἀρτίως σοι ἀναγινωσκομένων.

[Καὶ μνημονεύει ὧν θέλει κεκοιμημένων. Εἶτα λέγει·]

Τούτων πάντων μνήσθητι, Κύριε, ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὧν ἐμνήσθημεν καὶ ὧν οὐκ ἐμνήσθημεν· ἐκεῖ αὐτοὺς ἀνάπαυσον ἐν χώρᾳ ζώντων, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἐν κόλποις Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ὅθεν ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός, ἔνθα ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου·

Ἡμῶν δὲ τὰ τέλη τῆς ζωῆς χριστιανὰ καὶ ἀνώδυνα καὶ ἀναμάρτητα ἐν εἰρήνῃ κατεύθυνον, Κύριε, ἐπισυνάγων ἡμᾶς ὑπὸ τοὺς πόδας τῶν ἐκλεκτῶν σου, ὅτε θέλεις καὶ ὡς θέλεις, μόνον χωρὶς αἰσχύνης καὶ παραπτωμάτων ἐνώπιον τοῦ βήματος τοῦ μονογενοῦς σου Υἱοῦ, αὐτὸς γάρ ἐστιν ὁ μόνος ἀναμάρτητος φανεὶς ἐπὶ τῆς γῆς.

Χάριτι καὶ οἰκτιρμοῖς

Καὶ ἐκφωνεῖ·

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Χριστοῦ σου, μεθ' οὗ σοὶ δόξα πρέπει σὺν τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

Ὁ ἱερεύς· ✠ Εἰρήνη πᾶσι.

Ὁ λαός· Καὶ τῷ πνεύματί σου.

## ◂ ΕΥΧΗ ΜΕΤΑΛΗΨΕΩΣ – ΠΑΤΕΡ ΗΜΩΝ ▸

Ἐξελθὼν ὁ διάκονος, λέγει τὴν συναπτήν·

Ἔτι καὶ ἔτι καὶ διὰ παντὸς τοῦ Κυρίου δεηθῶμεν.

Ὁ λαός· Κύριε, ἐλέησον.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων, ἐνδόξων καὶ ἐπουρανίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας, ἀντικαταπέμψῃ ἡμῖν τὴν χάριν καὶ τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος, δεηθῶμεν.

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ παναγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ

ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ λαός· Σοί, Κύριε.

Ὁ δὲ ἱερεὺς τὴν εὐχήν·

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ καὶ δοξαζόμενος ὑπὸ τῶν σεραφίμ, ᾧ παρεστήκασι χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων στρατιαί·

Τὰ μὲν προσενεχθέντα σοι δῶρα, δόματα, καρπώματα εἰς ὀσμὴν εὐωδίας προσεδέξω, καὶ ἁγιάσαι καὶ τελειῶσαι κατηξίωσας τῇ χάριτι τοῦ Χριστοῦ σου καὶ τῇ ἐπιφοιτήσει τοῦ Ἁγίου σου Πνεύματος· Ἁγίασον, Δέσποτα, καὶ τὰς ἡμετέρας ψυχὰς καὶ τὰ σώματα, καὶ ψηλάφησον τὰς διανοίας, καὶ ἀνάκρινον τὰς συνειδήσεις, καὶ ἔκβαλε ἀφ᾽ ἡμῶν πᾶσαν ἔννοιαν πονηράν, πάντα λογισμὸν ἀσελγῆ, πᾶσαν ἐπιθυμίαν αἰσχράν, πάντα φθόνον καὶ τῦφον καὶ ὑπόκρισιν, πᾶν ψεῦδος, πάντα δόλον, πάντα περισπασμὸν βιοτικόν, πᾶσαν πλεονεξίαν, πᾶσαν κίνησιν σαρκός τε καὶ πνεύματος, ἀπηλλοτριωμένην τοῦ θελήματος τῆς ἁγιότητός σου.

Καὶ ἐκφωνεῖ·

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παρρησίας, ἐν καθαρᾷ καρδίᾳ, ψυχῇ πεφωτισμένῃ, ἀνεπαισχύντῳ προσώπῳ καὶ ἡγιασμένοις χείλεσι τολμᾶν ἐπικαλεῖσθαι σέ, τὸν ἐν τοῖς οὐρανοῖς ἅγιον Θεόν, πατέρα καὶ λέγειν·

Ὁ λαός· Πάτερ ἡμῶν…

Ὁ δὲ ἱερεὺς συνάπτει·

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, Κύριε, Κύριε τῶν δυνάμεων, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ καὶ ἐκ τῶν ἔργων αὐτοῦ διὰ τὸ ὄνομά σου τὸ ἅγιον, τὸ ἐπικληθὲν ἐπὶ τὴν ἡμετέραν ταπείνωσιν.

Ἐκφώνησις·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

## ◂ ΚΕΦΑΛΟΚΛΙΣΙΑ Γ′ ▸

Ὁ ἱερεύς· ✢ Εἰρήνη πᾶσι.

Ὁ λαός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.
Ὁ λαός· Σοί, Κύριε.
Εὐχὴ κεφαλοκλισίας γ΄·

Σοὶ ἐκλίναμεν οἱ δοῦλοί σου τοὺς αὐχένας τῶν καρδιῶν ἡμῶν, ἀπεκδεχόμενοι τὰ παρὰ σοῦ πλούσια ἐλέη· τὴν πνευματικὴν εὐλογίαν σου ἐξαπόστειλον ἡμῖν, Δέσποτα, καὶ ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ τὰ πνεύματα, ἵνα ἄξιοι γενώμεθα κοινωνοὶ γενέσθαι τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Ἐκφώνησις·

Σὺ γὰρ προσκυνητὸς καὶ δεδοξασμένος ὑπάρχεις, ὁ Θεὸς ἡμῶν, καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.
Ὁ ἱερεύς·

Καὶ ἔσται ἡ χάρις τῆς ✠ ἁγίας καὶ ✠ ὁμοουσίου καὶ ✠ προσκυνητῆς Τριάδος μετὰ πάντων ὑμῶν.

Ὁ λαός· Καὶ μετὰ τοῦ πνεύματός σου.

# ΜΕΡΟΣ Δ΄
# ΜΕΤΑΛΗΨΙΣ

## ◂ ΥΨΩΣΙΣ ▸ 5

Ὁ διάκονος· Πρόσσχωμεν.

Εἰ βούλει, πρῶτον λέγε τὴν εὐχὴν ΙΒ΄ (σ. 109)

Ὁ ἱερεὺς ἁπτόμενος τοῦ ἁγίου ἄρτου λέγει ἡσύχως·

Ἀκατάληπτε Θεὲ Λόγε, τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι ὁμοούσιε καὶ συναΐδιε καὶ ἀχώριστε, πρόσδεξαι τὸν ἀκήρατον ὕμνον ἐν ταῖς ἁγίαις σου ἀναιμάκτοις θυσίαις, σὺν τοῖς χερουβὶμ καὶ σεραφὶμ καὶ παρ᾽ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀχρείου δούλου σου, βοῶντος καὶ λέγοντος·

Καὶ ὑψῶν αὐτὸν ἐκφωνεῖ·

Τὰ ἅγια τοῖς ἁγίοις.

Ὁ λαός· Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρὸς σὺν Ἁγίῳ Πνεύματι, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## ◂ ΚΛΑΣΙΣ – ΕΝΩΣΙΣ – ΖΕΟΝ ▸

Ὁ ἱερεὺς κλᾷ τὸν ἅγιον ἄρτον, ποιήσας δὲ σταυρὸν ἐπάνω τοῦ ποτηρίου διὰ μιᾶς μερίδος καὶ ἐμβαλὼν αὐτήν, λέγει·

Ἥνωται τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Χριστοῦ, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος.

Ὁ διάκονος· Ἀμήν. Εὐλόγησον, δέσποτα, τὸ ζέον.

Ὁ ἱερεύς·

Ζέσις ✠ Πνεύματος Ἁγίου.

Ὁ διάκονος· Ἀμήν.

## ◂ ΚΟΙΝΩΝΙΚΟΝ ▸

Ὁ διάκονος· Ἐν εἰρήνῃ Χριστοῦ ψάλατε.

Εἰ βούλει, λέγε τὴν εὐχὴν ΙΓ´ (σσ. 109-111)

Καὶ ὁ λαὸς ψάλλει τὸ κοινωνικόν·

Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος· ἀλληλούϊα.

Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου· ἀλληλούϊα.

Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό· ἀλληλούϊα.

Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ· ἀλληλούϊα.

Δόξα… ἀλληλούϊα. Καὶ νῦν… ἀλληλούϊα.

Σῶμα καὶ αἷμα Χριστοῦ μεταλάβωμεν, πηγῆς ἀθανάτου γευσώμεθα· ἀλληλούϊα.

Εὐχὴ μεταλήψεως·

Εἰ βούλει, λέγε την εὐχὴν ΙΔ΄ ἢ ΙΕ΄ (σ. 112)

Ἁγία, ἁγία, ἁγία, ἀκατάληπτε Τριάς, δὸς ἡμῖν μεταλαβεῖν τὸ σῶμα καὶ τὸ αἷμα τοῦτο εἰς σωτηρίαν, μὴ εἰς κρῖμα, ἀλλ' εἰς καρποφορίαν ἀρετῶν, ἵνα εὑρεθῶμέν σοι εὐάρεστοι καὶ ζῶμεν ποιοῦντες τὰς ἐντολάς σου, μετὰ παρρησίας σὲ τὸν Θεὸν πατέρα ἐπικαλούμενοι, καὶ ζητοῦντες τὴν βασιλείαν σου καὶ τὸ θέλημά σου· ἁγιασθήτω δὲ ἐν ἡμῖν τὸ ὄνομά σου, Κύριε, ὅτι δυνατὸς εἶ, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου τὸ ἅγιον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

{Ὁ διάκονος· Ἱερεῦ, πρόσελθε.

Εἰς ἐπίσκοπον·

Ἀληθινὸν σῶμα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεταδιδόμενόν σοι τῷ ἀρχιερεῖ τοῦ Θεοῦ ἡμῶν (δεῖνι), διαφυλάττον τὴν ἀρχήν σου ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

Εἰς πρεσβύτερον·

Ἀληθινὸν σῶμα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεταδιδόμενόν σοι τῷ ἱερεῖ τοῦ Θεοῦ ἡμῶν (δεῖνι), διαφυλάττον τὴν ἱερωσύνην σου ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

Καὶ μεταδιδόασιν ἀλλήλοις οἱ πρῶτοι.

Εἰς τὸ ἅγιον ποτήριον·

Ἀληθινὸν αἷμα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεταδιδόμενόν σοι (δεῖνι) ἱερεῖ (ἢ διακόνῳ) εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

Ὁ διάκονος· Πρεσβύτεροι, προσέλθετε.

Εἶτα ὁ μὲν ἱερεὺς μεταδίδωσι τὸ ἅγιον σῶμα τοῖς λοιποῖς συλλειτουργοῦσιν, ὁ δὲ β′ πρεσβύτερος ἐκ τοῦ ἁγίου ποτηρίου.

Ὁ διάκονος· Προσέλθωμεν, διάκονοι.}

Εἰς διάκονον·

Ἀληθινὸν σῶμα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ εἰπόντος· Ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται· μεταδιδόμενόν σοι τῷ διακόνῳ (δεῖνι), διαφυλάττον τὴν διακονίαν σου ἄσπιλον, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

Ὁ διάκονος συστέλλει τὰ ἐν τῷ δίσκῳ τῷ ποτηρίῳ.

## ◂ ΚΟΙΝΩΝΙΑ ΛΑΟΥ ▸

Εἶτα λέγει· Μετὰ φόβου Θεοῦ προσέλθετε.

Ὁ λαός· Ἐνώπιόν σου, Κύριε.

Εἰς κοινωνίαν λαοῦ·

Σῶμα καὶ αἷμα Χριστοῦ μεταδιδόμενόν σοι εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

## ◂ ΕΥΧΑΡΙΣΤΙΑ ▸

Εἰ βούλει, λέγε τὴν εὐχὴν ΙϚ΄ (σσ. 112-113)

Μετὰ τὸ πάντας μεταλαβεῖν ὁ ἱερεὺς σφραγίζει τὸν λαόν, ἀποθεὶς δὲ τὸ ἱερὸν ποτήριον ἐπὶ τῆς ἁγίας τραπέζης, θυμιᾷ τὰ ἅγια λέγων·

Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου·

Καὶ λαβὼν τὸ ποτήριον, δείκνυσι τῷ λαῷ ἐκφωνῶν·

Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

Καὶ συνάπτει· Εὐχαριστοῦμέν σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τοῦ σώματος καὶ αἵματός σου, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον· ἀλληλούϊα.

Καὶ ἐπιστρέφονται τὰ ἅγια εἰς τὴν πρόθεσιν, ὁ δὲ διάκονος ἐξελθὼν λέγει·

Ὀρθοί, οἱ μεταλαβόντες τῶν ἁγίων, ἀχράντων,

ἐπουρανίων καὶ ζωοποιῶν μυστηρίων, εὐχαριστήσωμεν Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Ὁ λαός· Εὐχαριστοῦμέν σοι, Κύριε.

Ὅπως γένηται ἡμῖν ἡ μετάληψις τῶν ἁγιασμάτων αὐτοῦ εἰς σωτηρίαν, εἰς ἀποτροπὴν παντὸς πονηροῦ πράγματος, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς κοινωνίαν τοῦ Ἁγίου Πνεύματος, δεηθῶμεν.

Ὁ λαός· Κύριε, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων καὶ δικαίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ λαός· Σοί, Κύριε.

Ὁ δὲ ἱερεὺς τὴν εὐχήν·

Ὁ Θεός, ὁ διὰ πολλὴν εὐσπλαγχνίαν σου συγκαταβὰς τῇ ἀσθενείᾳ τῶν δούλων σου καὶ καταξιώσας ἡμᾶς μετασχεῖν ταύτης τῆς ἐπουρανίου τραπέζης, μὴ κατακρίνῃς ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων σου μυστηρίων, ἀλλὰ φύλαξον ἡμᾶς, ἀγαθέ, ἐν ἁγιασμῷ, ἵνα ἄξιοι γενόμενοι τοῦ Ἁγίου σου Πνεύματος, εὕρωμεν μέρος καὶ κλῆρον μετὰ πάντων τῶν ἁγίων σου,

ἐν τῷ φωτὶ τοῦ προσώπου σου

ἐν τῷ φωτὶ τοῦ προσώπου σου, διὰ τῶν οἰκτιρμῶν τοῦ Χριστοῦ σου.

Ἐκφώνησις·

Ὅτι ηὐλόγηται καὶ ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

## ◂ ΚΕΦΑΛΟΚΛΙΣΙΑ Δʹ ▸

Ὁ ἱερεύς· ✠ Εἰρήνη πᾶσι.

Ὁ λαός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ λαός· Σοί, Κύριε.

Εὐχὴ κεφαλοκλισίας δʹ·

Ὁ Θεός, ὁ μέγας καὶ θαυμαστός, ἔπιδε ἐπὶ τοὺς δούλους σου, ὅτι σοὶ τοὺς αὐχένας ἐκλίναμεν, καὶ ἔκτεινον τὴν χεῖρά σου τὴν κραταιὰν τὴν πλήρη εὐλογιῶν, καὶ εὐλόγησον τὸν λαόν σου καὶ διαφύλαξον τὴν κληρονομίαν σου, ἵνα ἀεὶ καὶ διὰ παντὸς δοξάζωμέν σε, τὸν μόνον ζῶντα καὶ ἀληθινὸν Θεόν, τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα.

Ἐκφώνησις·

Σοὶ γὰρ πρέπει πᾶσα δοξολογία, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

# ΑΠΟΛΥΣΙΣ

Καὶ συνάπτει· Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος (τρίς).

Εὐχὴ εἰς τὸ συστεῖλαι τὰ ἅγια, λεγομένη ἐν τῇ προθέσει·

Εἰ βούλει, λέγε την εὐχὴν ΙΖ′ (σ. 113)

Ἔδωκας ἡμῖν, Δέσποτα, τὸν ἁγιασμὸν ἐν τῇ μετουσίᾳ τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου· δὸς ἡμῖν καὶ τὴν χάριν τοῦ Πνεύματός σου τοῦ Ἁγίου, καὶ φύλαξον ἡμᾶς ἀμώμους ἐν τῇ πίστει, καὶ ὁδήγησον ἡμᾶς εἰς τελείαν υἱοθεσίαν καὶ εἰς τὰς μελλούσας αἰωνίους ἀπολαύσεις·

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Χριστοῦ σου, μεθ᾽ οὗ σοὶ δόξα πρέπει σὺν τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Καὶ εὐλογεῖ τοὺς διακόνους.

Ὁ διάκονος· Ἐν εἰρήνῃ Χριστοῦ διαφυλαχθῶμεν.

Ὁ λαός· Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς, ἐξελθὼν εἰς τὸ μέσον τοῦ ναοῦ, λέγει·

Εἰς τὸ ὄνομα τοῦ ✠ Πατρὸς καὶ τοῦ ✠ Υἱοῦ καὶ τοῦ ✠ Ἁγίου Πνεύματος.

Καὶ συνάπτει·

Διὰ πρεσβειῶν τῆς ἁγίας Θεοτόκου, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων, ἱκεσίαις τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ, τῶν ἁγίων καὶ ἐνδόξων ἀποστόλων, προφητῶν, ἱεραρχῶν, εὐαγγελιστῶν, δικαίων, μαρτύρων, ὁμολογητῶν καὶ μακαρίων πατέρων, (τοῦ ἁγίου, εἴπερ ἑορτάζεται), τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου, καὶ πάντων τῶν ἁγίων·

Εἰ βούλει, λέγε τὴν εὐχὴν ΙΗ′ η ΙΘ′ (σ. 114)

Στραφεὶς δὲ πρὸς ἀνατολὰς συμπληροῖ·

Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς.

Ὁ λαός· Ἀμήν.

Καὶ διανέμεται τὸ ἀντίδωρον.

Ἐτελειώθη σὺν Θεῷ ἡ θεία λειτουργία
τοῦ ἁγίου ἀποστόλου Ἰακώβου
ἀδελφοῦ τοῦ Κυρίου

# Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ
## ΤΩΝ ΠΡΟΗΓΙΑΣΜΕΝΩΝ ΔΩΡΩΝ
## ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΙΑΚΩΒΟΥ

# ΜΕΡΟΣ Α΄
# ΕΣΠΕΡΙΝΟΣ

## ◂ ΚΑΙΡΟΣ – ΕΝΑΡΞΙΣ ▸

Εἰσελθόντες ὅ τε ἱερεὺς καὶ ὁ διάκονος εἰς τὸν θεῖον ναὸν καὶ τὰς ἁγίας εἰκόνας ἀσπασάμενοι, ἐνδύονται.

Ὁ διάκονος, θυμιάσας καὶ καιρὸν λαβών, λέγει·

Κύριε, εὐλόγησον.

Ὁ ἱερεύς·

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν. Καὶ λέγεται ὁ προοιμιακὸς ψαλμός.

## ◂ ΣΥΝΑΠΤΑΙ – ΕΥΧΑΙ ΛΥΧΝΙΚΟΥ ▸

Ὁ διάκονος· Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ λαός· Κύριε, ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

[Ὑπὲρ τοῦ πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος, τοῦ Κυρίου δεηθῶμεν.]

Ὑπὲρ τῆς ἁγίας μονῆς (ἢ τῆς πόλεως) ταύτης· πάσης πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, [κινδύνου] καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχήν·

Οἱ κατὰ τὸν καιρὸν τῆς ἡμέρας τῇ θεωρίᾳ τῆς ἐν τῇ κτίσει μεγαλουργίας σου ἐντρυφήσαντες,

Κύριε, καὶ δι' αὐτῆς σὲ τὸν γενεσιουργὸν τῶν ἁπάντων καὶ τῶν ὑπερφυῶν θαυμάτων ποιητὴν ὑπερεκπλαγέντες καὶ δοξάσαντες, καὶ μετὰ τὴν ταύτης παρέλευσιν ἀξίως αἴνεσίν σοι προσάγομεν, κατανοοῦντες τῆς μεγάλης σου σοφίας τὴν πρόνοιαν, ὅτι ἔθου σκότος καὶ ἐγένετο νύξ, ἀνθρώποις μὲν κόπων ἀνάπαυσιν φέρουσα, θηρίοις δὲ τροφῆς πορισμόν· καὶ μετὰ τοῦ προφήτου βοῶμέν σοι· Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. Δεόμεθα οὖν, φιλάνθρωπε Δέσποτα· Μὴ ἐπιδῦναι ἡμῖν ἐπὶ τῷ παροργισμῷ τῶν ἡμετέρων ἁμαρτιῶν σὲ τὸν τῆς δικαιοσύνης ἥλιον, ἀλλὰ διαπαντὸς ἡμᾶς τῷ φωτισμῷ τῆς σῆς καταλάμπεσθαι χάριτος, ἵνα ἐν ἡμέρᾳ καὶ νυκτὶ δοξάζωμέν σου τὴν ἀκατάληπτον μεγαλειότητα.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ λαός· Σοί, Κύριε.

Ὅτι πρέπει σοι πᾶσα δόξα

Ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

[Μετὰ δὲ τὸ Πρὸς Κύριον λέγει ὁ διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ λαός· Κύριε, ἐλέησον.

Εὐχὴ δευτέρα τοῦ λυχνικοῦ·

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸ ἀπρόσιτον οἰκῶν φῶς, ὁ παραγαγὼν ἡμᾶς ἐν τῷ μεγάλῳ σου ἐλέει τὴν παροῦσαν ἡμέραν καὶ ἐπὶ τὴν ἑσπερινὴν δοξολογίαν προσκαλεσάμενος, πρόσδεξαι τὴν ἱκεσίαν ἡμῶν τῶν ἀναξίων σου δούλων, καὶ ῥυσάμενος ἡμᾶς ἐκ τοῦ σκότους τῆς ἁμαρτίας, φώτισον τοὺς ὀφθαλμοὺς τῶν ψυχῶν ἡμῶν, ἵνα πάντοτε ἐν τῷ φόβῳ σου διαμένοντες καὶ ἐν τῷ φωτί σου περιπατοῦντες, κατανοῶμεν τὰ θαυμάσιά σου, ἐπὶ πᾶσι δοξάζοντες σὲ τὸν μόνον ἀληθινὸν καὶ φιλάνθρωπον Θεόν.

Ἀντιλαβοῦ, σῶσον...

Τῆς παναγίας, ἀχράντου...

Ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.]

Καὶ ψάλλεται τὸ Κύριε, ἐκέκραξα, ἐν ᾧ θυμιᾶ ὁ διάκονος.

## ◂ ΕΣΠΕΡΙΝΗ ΕΙΣΟΔΟΣ ▸

Ἡ εἴσοδος μετὰ τοῦ θυμιατοῦ ἢ τοῦ εὐαγγελίου.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ τῆς εἰσόδου·

Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν καὶ δεόμεθά σου, Δέσποτα τῶν ἁπάντων· Κατεύθυνον τὴν προσευχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους πονηρίας, ἀλλὰ ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τὰς ψυχὰς ἡμῶν, ὅτι πρὸς σὲ Κύριε, Κύριε, οἱ ὀφθαλμοὶ ἡμῶν καὶ ἐπὶ σοὶ ἠλπίσαμεν, μὴ καταισχύνῃς ἡμᾶς ὁ Θεὸς ἡμῶν.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις,

τῷ Πατρὶ καὶ τῷ Υἱῷ

τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Καὶ εὐλογεῖ τὴν εἴσοδον.

Ὁ διάκονος· Σοφία ὀρθοί.

Ὁ λαός· Φῶς ἱλαρόν...

## ◂ ΚΑΘΕΔΡΑ – ΕΙΡΗΝΕΥΣΙΣ ▸

Εὐθὺς μετὰ τὴν εἴσοδον ὁ ἱερεὺς ἀσπάζεται τὴν ἁγίαν τράπεζαν καὶ ἀνέρχεται εἰς τὴν καθέδραν.

Ὁ διάκονος· Πρόσσχωμεν.

Ὁ ἱερεύς· ✠ Εἰρήνη πᾶσι.

Ὁ λαός· Καὶ τῷ πνεύματί σου.

Καὶ κάθηται ὁ ἱερεύς.

## ◂ ΠΡΟΚΕΙΜΕΝΑ – ΑΝΑΓΝΩΣΜΑΤΑ ▸

Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβὶδ (ὅδε).

Ὁ διάκονος· Πρόσσχωμεν.

Καὶ ψάλλεται τὸ α´ προκείμενον.

Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης· Γενέσεως (ἢ Τῆς Ἐξόδου) τὸ ἀνάγνωσμα.

Ὁ διάκονος· Πρόσσχωμεν.

Καὶ ἀναγινώσκεται τὸ α´ ἀνάγνωσμα.

Ἰστέον ὅτι τὸ Φῶς Χριστοῦ ὧδε οὐ λέγεται.

Ὁ διάκονος· Σοφία.
Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβὶδ (ὅδε).
Ὁ διάκονος· Πρόσσχωμεν.
Καὶ ψάλλεται τὸ β´ προκείμενον.
Ὁ διάκονος· Σοφία.
Ὁ ἀναγνώστης· Παροιμιῶν (ἢ Ἰὼβ) τὸ ἀνάγνωσμα.
Ὁ διάκονος· Πρόσσχωμεν.
Καὶ ἀναγινώσκεται τὸ β´ ἀνάγνωσμα.

Ἰστέον ὅτι τὸ Κατευθυνθήτω οὐ ψάλλεται.

◂ ΑΠΟΣΤΟΛΟΣ – ΕΥΑΓΓΕΛΙΟΝ ▸

[Ἐν ταῖς ἑορταῖς προστίθησιν ὁ διάκονος· Σοφία.
Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Καὶ τὰ ἑξῆς.
Ἐν δὲ ταῖς τρισὶ πρώταις ἡμέραις τῆς Μεγάλης Ἑβδομάδος ἀντ᾽ αὐτῶν λέγει·
Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.
Ὁ λαός· Κύριε, ἐλέησον (τρίς). Καὶ λοιπά.]

Ὁ ἱερεὺς κατέρχεται ἀπὸ τῆς καθέδρας.

Ὁ λαός· Καταξίωσον, Κύριε...

Ὁ διάκονος· Σχολάσωμεν ἐκτενῶς· τοῦ Κυρίου δεηθῶμεν. Ὁ λαός· Κύριε, ἐλέησον.

Ὁ ἱερεύς·

Σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ σὲ ἱκετεύομεν, τὸν καταξιώσαντα ἡμᾶς διελθεῖν τὸ μῆκος τῆς ἡμέρας ἐν εἰρήνῃ καὶ φθάσαι τὴν ἑσπέραν, παραστῆναι δὲ ἐνώπιόν σου ἐν ναῷ τῷ ἁγίῳ τῆς δόξης σου· Συγχώρησον ἡμῖν, εὐεργέτα, τὰς ἁμαρτίας τῆς ἡμέρας ταύτης καὶ παντὸς καιροῦ, καὶ δὸς ἡμῖν ἐν ἀγρύπνῳ καρδίᾳ καὶ νηφούσῃ διανοίᾳ τὴν ὀφειλομένην προσκύνησιν καὶ δοξολογίαν ἐν παντὶ καιρῷ προσφέρειν τῷ ὀνόματί σου τῷ παντίμῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἑσπέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ λαός· Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ λαός· Σοί, Κύριε.

Ἐκφώνησις·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν

Ὁ λαός· Ἀμήν.

Ὁ ἱερεύς· ✠ Εἰρήνη πᾶσι.

Ὁ λαός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ λαός· Σοί, Κύριε.

Εὐχὴ κεφαλοκλισίας τοῦ ἑσπερινοῦ·

Ὁ Πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως, πάντας τοὺς ὑποκεκλικότας τὰς ἑαυτῶν κεφαλὰς ἐνώπιόν σου, πατέρας καὶ ἀδελφούς, πρεσβύτας καὶ νέους, εὐλόγησον καὶ διαφύλαξον ὑπὸ τὴν σκέπην τοῦ βραχίονός σου· ἐνδυνάμωσον ἐν παντὶ ἔργῳ ἀγαθῷ, παντὸς δὲ ἔργου πονηροῦ ἀπόστησον.

Ἐκφώνησις·

Χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ σοὶ δόξα πρέπει σὺν τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

# ΜΕΡΟΣ Β΄
# ΠΡΟΕΤΟΙΜΑΣΙΑ

## ◂ ΝΙΨΙΣ ΧΕΙΡΩΝ – ΠΡΟΘΕΣΙΣ ▸

Ὁ διάκονος· Ἐν εἰρήνῃ ψάλωμεν.

Ὁ λαός· Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνὴν αἰνέσεώς σου καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.

Καὶ συνάπτει τὸ στιχηρὸν εἰς τὴν νίψιν τῶν χειρῶν τῆς παρελθούσης κυριακῆς, ἢ τὸ παρόν·

Ὁ προφητικὸς λόγος πεπλήρωται· ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισεν στύλους ἑπτά, ἔσφαξεν τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, λέγουσα· Ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον καὶ πίετε οἶνον ὃν κεκέρακα ὑμῖν· ἀπολείπετε ἀφροσύνην, ἐπ' ἐμοὶ γὰρ εὐφραίνεται ὁ Πατήρ, καὶ ἐγώ εἰμι ὁ σὺν αὐτῷ τὸν κόσμον δημιουργήσας.

Ὁ διάκονος δίδωσιν ὕδωρ τῷ ἱερεῖ, ὅστις, νιψάμενος τὰς χεῖρας, ἀπέρχεται εἰς τὴν πρόθεσιν καὶ ἑτοιμάζει τὸν ἅγιον ἄρτον σὺν τῷ ποτηρίῳ.

Ὁ δὲ διάκονος μετατίθησι τὸ ἅγιον εὐαγγέλιον καὶ ἐξαπλοῖ τὸ εἰλητόν.

Μετὰ ταῦτα λέγει ὁ διάκονος μεγαλοφώνως· Μή τις τῶν κατηχουμένων, μή τις τῶν ἀμυήτων, μή τις τῶν μὴ δυναμένων ἡμῖν συνδεηθῆναι· ἀλλήλους ἐπίγνωτε· ὀρθοὶ πάντες.

Ὁ λαός· Χορὸς ὁ ἐπουράνιος ὑμνεῖ σε καὶ λέγει· Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου.

Στίχος· Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

Καὶ πάλιν· Χορὸς ὁ ἐπουράνιος ὑμνεῖ σε καὶ λέγει· Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου.

Στίχος· Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Καὶ τὸ στιχηρὸν εἰς τὴν εἴσοδον τῶν ἁγίων·

Νῦν αἱ δυνάμεις τῶν οὐρανῶν σὺν ἡμῖν ἀοράτως λατρεύουσιν, ἰδοὺ γὰρ εἰσπορεύεται ὁ βασιλεὺς τῆς δόξης, ἰδοὺ θυσία μυστικὴ τετελειωμένη δορυφορεῖται· πίστει καὶ πόθῳ προσέλθωμεν, ἵνα μέτοχοι ζωῆς αἰωνίου γενώμεθα· ἀλληλούϊα.

Τοῦ διακόνου θυμιῶντος, ὁ ἱερεὺς λέγει τὸν ν′ ψαλμὸν καθ᾽ ἑαυτόν.

Εἶτα προσκυνοῦσι τρίς, λέγοντες καὶ αὐτοὶ τὸ Νῦν αἱ δυνάμεις. Ὕστερον ἀσπάζονται τὴν ἁγίαν τράπεζαν καὶ ἀπέρχονται ἐν τῇ προθέσει.

Ὁ μὲν διάκονος λαμβάνει τὸν ἀέρα ἐπὶ τῶν ὤμων, τὸν κηρὸν καὶ τὸν θυμιατὸν ταῖς χερσίν, ὁ δὲ ἱερεὺς αἴρει τὰ ἅγια, καὶ οὕτω προσάγουσιν αὐτὰ εἰς τὸ θυσιαστήριον καὶ καλύπτουσι.

## ◂ ΑΣΠΑΣΜΟΣ ▸

Καὶ εὐθὺς ὁ διάκονος· Στῶμεν καλῶς· τοῦ Κυρίου δεηθῶμεν.

Ὁ λαός· Κύριε, ἐλέησον.

Εὐχὴ πρὸ τοῦ ἀσπασμοῦ, τοῦ ἁγίου ἀποστόλου Ἰακώβου·

Ὁ πάντων Θεὸς καὶ Δεσπότης, ἀξίους ἡμᾶς ἀπέργασαι τῆς ὥρας ταύτης τοὺς ἀναξίους, φιλάνθρωπε, ἵνα καθαρεύοντες ἀπὸ παντὸς δόλου καὶ πάσης ὑποκρίσεως, ἑνωθῶμεν ἀλλήλοις τῷ τῆς εἰρήνης καὶ τῆς ἀγάπης συνδέσμῳ, βεβαιούμενοι τῷ τῆς σῆς θεογνωσίας ἁγιασμῷ διὰ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἐκφώνησις·

Ὅτι Θεὸς εἰρήνης

Ὅτι Θεὸς εἰρήνης καὶ ἀγάπης καὶ φιλανθρωπίας ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

Ὁ ἱερεύς· ✠ Εἰρήνη πᾶσι.

Ὁ λαός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Ἀσπασώμεθα ἀλλήλους ἐν φιλήματι ἁγίῳ.

Ὁ λαός· Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν, ἀλλ᾽ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό.

Καὶ συνάπτει· Ὡς ἐν μέσῳ τῶν μαθητῶν σου παρεγένου, Σωτήρ, τὴν εἰρήνην διδοὺς αὐτοῖς, ἐλθὲ καὶ μεθ᾽ ἡμῶν καὶ σῶσον ἡμᾶς.

Καὶ ἀσπάζονται ἀλλήλους οἱ ἐν τῷ βήματι.

## ◂ ΚΕΦΑΛΟΚΛΙΣΙΑ ▸

Μετὰ δὲ τὸ δοθῆναι τὴν ἀγάπην λέγει ὁ διάκονος·
Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ λαός· Σοί, Κύριε.

Εὐχὴ κεφαλοκλισίας·

Ὁ μόνος Κύριος καὶ ἐλεήμων Θεός, τοῖς κλίνουσι τοὺς ἑαυτῶν αὐχένας ἐνώπιον τοῦ

ἁγίου σου θυσιαστηρίου καὶ ἐπιζητοῦσι τὰς παρὰ σοῦ πνευματικὰς δωρεάς, ἐξαπόστειλον τὴν χάριν σου τὴν ἀγαθὴν καὶ εὐλόγησον πάντας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν.

Ἐκφώνησις·

Ὅτι αἰνετὸν καὶ προσκυνητὸν ὑπάρχει τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

# ΜΕΡΟΣ Γ΄
# ΠΡΟΗΓΙΑΣΜΕΝΗ

## ◂ ΕΥΧΗ Α΄ ΠΡΟΗΓΙΑΣΜΕΝΩΝ ▸

Ὁ διάκονος λέγει τῷ ἱερεῖ ἠρέμα, προσκυνῶν·
Κύριε, εὐλόγησον.
Ὁ δέ· Ὁ Κύριος προσδέξοιτο ✠ τὴν διακονίαν σου {ἢ ὑμῶν}.
Ἐξελθὼν ὁ διάκονος, ἄρχεται τῆς συναπτῆς·
Ἔτι καὶ ἔτι κλίναντες τὰ γόνατα, ἐκτενῶς τοῦ Κυρίου δεηθῶμεν.
Ὁ λαός· Κύριε, ἐλέησον.
Ὁ ἱερεύς·

Κύριε παντοκράτορ, ἄφατε καὶ ἀνεξιχνίαστε καὶ ἀκατάληπτε, ἄγνωστε καὶ ἀθεώρητε, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, πρόσδεξαι τὴν δέησιν ἡμῶν καὶ ἱκεσίαν, καὶ χάρισαι ἡμῖν τὴν προηγιασμένην ταύτην θυσίαν τοῦ ὀνόματός σου καὶ τετελειωμένην τῇ ἐπιφοιτήσει τοῦ Ἁγίου σου Πνεύματος, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα, μὴ εἰς ἔλεγχον ἁμαρτιῶν, ἀλλ' εἰς ἴασιν καὶ ζωὴν αἰώνιον, εἰς νῆψιν, ἁγιασμὸν καὶ ὁσιότητα, καὶ εἰς ἀντίληψιν τὴν παρὰ σοί.

Ὁ διάκονος·

Ἐν δυνάμει καὶ ἐλέει Θεοῦ ἀναστῶμεν.

Ὁ λαός· Κύριε, ἐλέησον.

Ἵνα γενώμεθα ναοὶ Θεοῦ καὶ κατοικητήρια τοῦ Ἁγίου Πνεύματος, δεηθῶμεν.

Ὑπὲρ τῶν τὰς ἁγίας νηστείας καὶ δεήσεις διεκτελούντων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐλόγως ἀπολειφθέντων ἀδελφῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν συνελθόντων καὶ συνευχομένων ἡμῖν, [καὶ ἐλθόντων τοῦ προσκυνῆσαι ἐν τῷ ζωηφόρῳ τάφῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν ταῖς ἁγίαις ἐκκλησίαις ὀρθοδόξων,] τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς καὶ ἀνάγκης, καὶ ὑπὲρ τῶν χρῃζόντων παρὰ τοῦ Θεοῦ ἀντίληψιν καὶ βοήθειαν, δεηθῶμεν.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ μακαρίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων ἀποστόλων, ἐνδόξων προφητῶν, καλλινίκων μαρτύρων καὶ θεοφόρων πατέρων, τοῦ ἁγίου Ἰακώβου τοῦ

ἀποστόλου καὶ ἀδελφοῦ

ἀποστόλου καὶ ἀδελφοῦ τοῦ Κυρίου, (τοῦ ἁγίου, εἴπερ ἑορτάζεται) καὶ πάντων τῶν ἁγίων καὶ δικαίων μνημονεύσωμεν, ὅπως εὐχαῖς καὶ πρεσβείαις αὐτῶν οἱ πάντες ἐλεηθῶμεν.

Καὶ ὑπὲρ τῶν προκειμένων καὶ προαγιασθέντων τιμίων δώρων, καὶ τοῦ παρεστῶτος καὶ ἀξίως ἀνακαινίζοντος αὐτὰ τιμίου ἱερέως, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Ὁ λαός· Κύριε, ἐλέησον (τρίς).

Ἐκφώνησις·

Ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ᾽ οὗ σοὶ δόξα πρέπει σὺν τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

Ὁ ἱερεύς· ✠ Εἰρήνη πᾶσι.

Ὁ λαός· Καὶ τῷ πνεύματί σου.

## ◂ ΕΥΧΗ Β′ – ΠΑΤΕΡ ΗΜΩΝ ▸

Ὁ ἱερεὺς (ἢ ὁ β′ διάκονος) αἴρει τὸν ἀέρα καὶ τὸν ἀστερίσκον, τοῦ διακόνου λέγοντος·

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ, ὅτι πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ.

Ὁ λαός· Κύριε, ἐλέησον.

Ἵνα καταξιωθῶμεν μεταλαβεῖν τῶν ἁγίων, ἀχράντων καὶ ἐπουρανίων τοῦ Χριστοῦ μυστηρίων, δεηθῶμεν.

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ παναγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ λαός· Σοί, Κύριε.

Ὁ δὲ ἱερεὺς ἐπεύχεται·

Κύριε καρδιογνώστα, ὁ ἐπιστάμενος τὸν νοῦν πάντων τῶν ἀνθρώπων καὶ εἰδὼς τὰ πάντα πρὶν γενέσθαι αὐτά, ἐπίβλεψον ἐξ οὐρανοῦ ἐν τῇ ἐπισκέψει καὶ τῇ εὐσπλαγχνίᾳ σου, καὶ ἐλέησον ἡμᾶς, καὶ πρόσδεξαι τὴν δέησιν ἡμῶν, καὶ καθάρισον ἡμῶν τὰ χείλη καὶ τὴν καρδίαν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος,

Ἐκφώνησις·

Καὶ δὸς ἡμῖν εὐπρόσδεκτον γενέσθαι τὸ μετὰ παρρησίας καὶ ἐν ἁγιασμῷ, ἐπὶ τῶν προηγιασμένων τούτων δώρων, τολμᾶν ἐπικαλεῖσθαι σέ, τὸν ἐν τοῖς οὐρανοῖς ἅγιον Θεόν, πατέρα καὶ λέγειν·

Ὁ λαός· Πάτερ ἡμῶν…

Και μη είσενέγκης

Ὁ δὲ ἱερεὺς συνάπτει·

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, Κύριε, Κύριε τῶν δυνάμεων, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ καὶ ἐκ τῶν ἔργων αὐτοῦ διὰ τὸ ὄνομά σου τὸ ἅγιον, τὸ ἐπικληθὲν ἐπὶ τὴν ἡμετέραν ταπείνωσιν.

Ἐκφώνησις·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

## ◂ ΚΕΦΑΛΟΚΛΙΣΙΑ ▸

Ὁ ἱερεύς· ✠ Εἰρήνη πᾶσι.

Ὁ λαός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ λαός· Σοί, Κύριε.

Εὐχὴ κεφαλοκλισίας·

Σοὶ ἐκλίναμεν οἱ δοῦλοί σου τοὺς αὐχένας τῶν καρδιῶν ἡμῶν, ἀπεκδεχόμενοι τὰ παρὰ σοῦ πλούσια ἐλέη· τὴν πνευματικὴν εὐλογίαν σου ἐξαπόστειλον ἡμῖν, Δέσποτα, καὶ ἁγίασον ἡμῶν

τὰς ψυχὰς καὶ τὰ σώματα καὶ τὰ πνεύματα, ἵνα ἄξιοι γενώμεθα κοινωνοὶ γενέσθαι τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Ἐκφώνησις·

Σὺ γὰρ προσκυνητὸς καὶ δεδοξασμένος ὑπάρχεις, ὁ Θεὸς ἡμῶν, καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

Ὁ ἱερεύς·

Καὶ ἔσται ἡ χάρις τῆς ✠ ἁγίας καὶ ✠ ὁμοουσίου καὶ ✠ προσκυνητῆς Τριάδος μετὰ πάντων ὑμῶν.

Ὁ λαός· Καὶ μετὰ τοῦ πνεύματός σου.

## ◂ ΥΨΩΣΙΣ ▸

Ὁ διάκονος· Πρόσσχωμεν.

Ὁ ἱερεὺς ὑψῶν τὸν ἅγιον ἄρτον ἐκφωνεῖ·

Τὰ προηγιασμένα ἅγια τοῖς ἁγίοις.

Ὁ λαός· Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρὸς σὺν Ἁγίῳ Πνεύματι, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## ◂ ΚΛΑΣΙΣ – ΕΝΩΣΙΣ – ΖΕΟΝ ▸

Ὁ ἱερεὺς κλᾷ τὸν ἅγιον ἄρτον, ποιήσας δὲ σταυρὸν ἐπάνω τοῦ ποτηρίου διὰ μιᾶς μερίδος καὶ ἐμβαλὼν αὐτήν, λέγει·

Εὐλογητὸς ὁ Πατήρ, εὐλογητὸς ὁ Υἱός, εὐλογητὸν τὸ Ἅγιον Πνεῦμα, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ διάκονος· Ἀμήν.

Ὁ διάκονος· Εὐλόγησον, δέσποτα, τὸ ζέον.

Ὁ ἱερεύς·

Ζέσις ✠ Πνεύματος Ἁγίου.

Ὁ διάκονος· Ἀμήν.

## ◂ ΚΟΙΝΩΝΙΚΟΝ ▸

Ὁ διάκονος· Ἐν εἰρήνῃ Χριστοῦ ψάλατε.

Ὁ λαὸς ψάλλει τὸ κοινωνικόν·

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· ἀλληλούϊα.

Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ· ἀλληλούϊα.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου· ἀλληλούϊα.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ· ἀλληλούϊα.
Δόξα… ἀλληλούϊα. Καὶ νῦν… ἀλληλούϊα.
Σῶμα καὶ αἷμα Χριστοῦ μεταλάβωμεν, πηγῆς ἀθανάτου γευσώμεθα· ἀλληλούϊα.

## ◂ ΚΟΙΝΩΝΙΑ ΚΛΗΡΟΥ ▸

Εὐχὴ μεταλήψεως·

Ἁγία, ἁγία, ἁγία, ἀκατάληπτε Τριάς, δὸς ἡμῖν μεταλαβεῖν τὸ σῶμα καὶ τὸ αἷμα τοῦτο εἰς σωτηρίαν, μὴ εἰς κρῖμα, ἀλλ' εἰς καρποφορίαν ἀρετῶν, ἵνα εὑρεθῶμέν σοι εὐάρεστοι καὶ ζῶμεν ποιοῦντες τὰς ἐντολάς σου, μετὰ παρρησίας σὲ τὸν Θεὸν πατέρα ἐπικαλούμενοι, καὶ ζητοῦντες τὴν βασιλείαν σου καὶ τὸ θέλημά σου· ἁγιασθήτω δὲ ἐν ἡμῖν τὸ ὄνομά σου, Κύριε, ὅτι δυνατὸς εἶ, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου τὸ ἅγιον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Εἰς ἐπίσκοπον·

Ἀληθινὸν σῶμα καὶ αἷμα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεταδιδόμενόν σοι τῷ

ἀρχιερεῖ

ἀρχιερεῖ τοῦ Θεοῦ ἡμῶν (δεῖνι), διαφυλάττον τὴν ἀρχήν σου ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

Εἰς πρεσβύτερον·

Ἀληθινὸν σῶμα καὶ αἷμα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεταδιδόμενόν σοι τῷ ἱερεῖ τοῦ Θεοῦ ἡμῶν (δεῖνι), διαφυλάττον τὴν ἱερωσύνην σου ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

Εἰς διάκονον·

Ἀληθινὸν σῶμα καὶ αἷμα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ εἰπόντος· Ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται· μεταδιδόμενόν σοι τῷ διακόνῳ (δεῖνι), διαφυλάττον τὴν διακονίαν σου ἄσπιλον, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

Εἰς τὸ ἅγιον ποτήριον·

Ἀληθινὸν αἷμα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεταδιδόμενόν σοι (δεῖνι) ἱερεῖ (ἢ διακόνῳ) εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

Ὁ διάκονος συστέλλει τὰ ἐν τῷ δίσκῳ τῷ ποτηρίῳ.

## ◂ ΚΟΙΝΩΝΙΑ ΛΑΟΥ ▸

Εἶτα λέγει· Μετὰ φόβου Θεοῦ προσέλθετε.

Ὁ λαός· Ἐνώπιόν σου, Κύριε.

Εἰς κοινωνίαν λαοῦ·

Σῶμα καὶ αἷμα Χριστοῦ μεταδιδόμενόν σοι εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

## ◂ ΕΥΧΑΡΙΣΤΙΑ ▸

Μετὰ τὸ πάντας μεταλαβεῖν ὁ ἱερεὺς σφραγίζει τὸν λαόν, ἀποθεὶς δὲ τὸ ἱερὸν ποτήριον ἐπὶ τῆς ἁγίας τραπέζης, θυμιᾷ τὰ ἅγια λέγων·

Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου·

Καὶ λαβὼν τὸ ποτήριον, δείκνυσι τῷ λαῷ ἐκφωνῶν·

Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

Καὶ συνάπτει· Εὐχαριστοῦμέν σοι, Κύριε βασιλεῦ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τοῦ ἀχράντου καὶ προηγιασμένου σώματος καὶ τοῦ τιμίου αἵματός σου, εἰς ζωὴν αἰώνιον· ἀλληλούϊα.

Καὶ ἐπιστρέφονται τὰ ἅγια εἰς τὴν πρόθεσιν, ὁ δὲ διάκονος ἐξελθὼν λέγει·

Ὀρθοί, οἱ μεταλαβόντες τῶν ἁγίων, ἀχράντων, ἐπουρανίων καὶ ζωοποιῶν μυστηρίων, εὐχαριστήσωμεν Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Ὁ λαός· Εὐχαριστοῦμέν σοι, Κύριε.

Ὅπως γένηται ἡμῖν ἡ μετάληψις τῶν ἁγιασμάτων αὐτοῦ εἰς σωτηρίαν, εἰς ἀποτροπὴν παντὸς πονηροῦ πράγματος, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς κοινωνίαν τοῦ Ἁγίου Πνεύματος, δεηθῶμεν.

Ὁ λαός· Κύριε, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων καὶ δικαίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ λαός· Σοί, Κύριε.

Ὁ δὲ ἱερεὺς τὴν εὐχήν·

Εὐχαριστοῦμέν σοι τῷ φοβερῷ Θεῷ, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναί, ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου· καταξιωθέντες οὖν μεταλαβεῖν τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου

δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δεόμεθα καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, ἵνα μὴ εἰς κρῖμα γένηται ἡμῖν ἡ τούτων μετάληψις, ἀλλ' εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν τὴν αἰώνιον, καὶ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς βασιλείας τῶν οὐρανῶν.

Ἐκφώνησις·

Ὅπως ἀεὶ ἔσται τὸ ὄνομά σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

## ◂ ΚΕΦΑΛΟΚΛΙΣΙΑ ▸

Ὁ ἱερεύς· ✠ Εἰρήνη πᾶσι.

Ὁ λαός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ λαός· Σοί, Κύριε.

Εὐχὴ κεφαλοκλισίας·

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ κλίναντος τοὺς οὐρανοὺς καὶ καταβάντος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, σοὶ ἐκλίναμεν τὰς κεφαλὰς ἡμῶν,

ἀπεκδεχόμενοι

ἀπεκδεχόμενοι τὴν παρὰ σοῦ εὐλογίαν· ἔκτεινον τὴν χεῖρά σου τὴν εὐεργετικὴν καὶ εὐλόγησον πάντας ἡμᾶς εὐλογίᾳ τῇ πνευματικῇ.

Ἐκφώνησις·

Σοὶ γὰρ πρέπει πᾶσα δοξολογία, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

## ΑΠΟΛΥΣΙΣ

Καὶ συνάπτει· Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος (τρίς).

Εὐχὴ εἰς τὸ συστεῖλαι τὰ ἅγια, λεγομένη ἐν τῇ προθέσει·

Ἐπίβλεψον ἐξ οὐρανοῦ ἁγίου σου, Δέσποτα Κύριε, ἐξ ἑτοίμου κατοικητηρίου σου ἐπὶ πάντας ἡμᾶς, καὶ εὐλόγησον τοὺς δούλους σου καὶ διατήρησον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου, ἐμπιπλῶν ἡμᾶς σὺν τοῖς ἁγίοις μυστηρίοις καὶ Πνεύματος Ἁγίου·

Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Καὶ εὐλογεῖ τὸν διάκονον.

Ὁ διάκονος· Ἐν εἰρήνῃ Χριστοῦ πορευθῶμεν.

Ὁ λαός· Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς, ἐξελθὼν εἰς τὸ μέσον τοῦ ναοῦ, λέγει·

Εἰς τὸ ὄνομα τοῦ ✠ Πατρὸς καὶ τοῦ ✠ Υἱοῦ καὶ τοῦ ✠ Ἁγίου Πνεύματος.

Καὶ συνάπτει·

Εἰ βούλει, λέγε τὴν εὐχὴν ΙΗ΄ ἢ ΙΘ΄ (σ. 114)

Διὰ πρεσβειῶν τῆς ἁγίας Θεοτόκου, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων, ἱκεσίαις τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ, τῶν ἁγίων καὶ ἐνδόξων ἀποστόλων, προφητῶν, ἱεραρχῶν, εὐαγγελιστῶν, δικαίων, μαρτύρων, ὁμολογητῶν καὶ μακαρίων πατέρων, (τοῦ ἁγίου, εἴπερ ἑορτάζεται), τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου, καὶ πάντων τῶν ἁγίων·

Στραφεὶς δὲ πρὸς ἀνατολὰς συμπληροῖ·

Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς.

Ὁ λαός· Ἀμήν.

Καὶ διανέμεται τὸ ἀντίδωρον.

Ἐτελειώθη σὺν Θεῷ ἡ θεία λειτουργία
τῶν προηγιασμένων δώρων
τοῦ ἁγίου ἀποστόλου Ἰακώβου

# ΕΤΕΡΑΙ ΕΥΧΑΙ
# ΚΑΤ' ΕΠΙΛΟΓΗΝ

## Α΄. Εὐχὴ λεγομένη ἅμα τῇ εἰσόδῳ ἐν τῷ ναῷ

Ὁ Θεός, ἐν τῷ εἰσελθεῖν ἡμᾶς εἰς τὸν ναὸν τὸν ἅγιον τῆς δόξης σου, καταξίωσον ἡμᾶς τοὺς δούλους σου δοξάζειν τὸ ὄνομά σου τὸ ἅγιον· ὅτι Θεὸς ἐλεήμων καὶ φιλάνθρωπος ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## Β΄. Ἔναρξις

Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, τῇ μόνῃ, ἁπλῇ καὶ ἀδιαιρέτῳ Τριάδι, τῇ ἑνούσῃ καὶ ἁγιαζούσῃ ἡμᾶς δι᾽ ἑαυτῆς καὶ εἰρηνευούσῃ τὴν ζωὴν ἡμῶν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## Γ΄. Εὐχὴ ἣν ποιεῖ ὁ ἱερεὺς καθ᾽ ἑαυτόν

Ἐν πλήθει ἁμαρτιῶν μεμολυσμένον με μὴ ἐξουδενώσῃς, Δέσποτα Κύριε ὁ Θεός μου, ἰδοὺ γὰρ προσέρχομαι τῷ θείῳ τούτῳ καὶ ἐπουρανίῳ μυστηρίῳ, οὐχ ὡς ἄξιος ὑπάρχων, ἀλλ᾽

εἰς τὴν σὴν ἀφορῶν αγαθότητα

εἰς τὴν σὴν ἀφορῶν ἀγαθότητα, ταύτην ἀφίημί σοι τὴν φωνήν· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, ἥμαρτον γὰρ εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου καὶ οὐκ εἰμὶ ἄξιος ἀντοφθαλμῆσαι τῇ ἱερᾷ ταύτῃ καὶ πνευματικῇ τραπέζῃ, ἐφ᾽ ᾗ ὁ μονογενής σου Υἱός, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἐμοὶ τῷ ἁμαρτωλῷ καὶ πάσῃ κηλῖδι κατεστιγμένῳ μυστικῶς πρόκειται εἰς θυσίαν· δι᾽ οὗ ταύτην σοι τὴν ἱκετηρίαν προσάγω, τοῦ καταπεμφθῆναί μοι τὸ Πνεῦμά σου τὸ παράκλητον, ἐνισχῦον καὶ καταρτίζον με πρὸς τὴν λειτουργίαν ταύτην· καὶ τὴν παρὰ σοῦ μοι ἐπαγγελθεῖσαν φωνὴν ἀκατακρίτως τῷ λαῷ ἐπιφθέγξασθαι ταύτην καταξίωσον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ᾽ οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## Δ΄. Εὐχὴ ἐνδύσεως

Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, διὰ τὴν ἄφατον ταπείνωσίν σου ἐπὶ τῆς γῆς ὤφθης καὶ [ἐν] τοῖς ἀνθρώποις συνανεστράφης, ἀρχιερεὺς δι᾽ ἡμᾶς γενόμενος εἰς τὸν αἰῶνα κατὰ

τὴν τάξιν Μελχισεδέκ· ὁ κοσμήσας τῇ ἀληθείᾳ τὴν Ἐκκλησίαν σου, Κύριε παντοκράτορ, καὶ δωρησάμενος ἡμῖν τὸ οὐράνιον τῆς ἀφθαρσίας ἔνδυμα· καταξίωσόν με τὸν προσερχόμενον τῇ θείᾳ ταύτῃ καὶ ἐπουρανίῳ ἱερουργίᾳ τῆς χάριτός σου, πᾶσαν κηλῖδα ἀποθέσθαι ὡς ἐσπιλωμένον χιτῶνα· εὐτρέπισον τὴν ψυχήν μου τῇ σῇ λαμπρότητι, τὸ δὲ σῶμά μου τῷ ἁγιασμῷ· ἀπόστρεψον ἀπ᾽ ἐμοῦ τὰς ἁμαρτίας μου καὶ ἀπόστησον ἀπ᾽ ἐμοῦ τὰς ἀνομίας μου· ἔνδυσόν με ἀρετήν, ἁγιασμὸν καὶ ἰσχύν, ἵνα, διὰ σοῦ τὴν ἱερατικὴν χάριν ἐνδυσάμενος, ἀξιωθήσομαι εἰσελθεῖν ἐν τοῖς ἁγίοις σου, μετὰ τῶν ἀπαραβάτως φυλασσόντων τὰς ἐντολάς σου, καὶ εὑρεθήσομαι ἐν τῷ οὐρανίῳ γάμῳ μετὰ τῶν φρονίμων καὶ ἁγίων παρθένων πρὸς τὴν σὴν δοξολογίαν, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ αἴρων τὰς ἁμαρτίας τῶν πάντων· ὅτι σὺ εἶ ὁ ἁγιασμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## Ε΄. Εὐχὴ λεγομένη τοῦ κλήρου μέλλοντος τὴν προέλευσιν ποιῆσαι

Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, τῷ τριαδικῷ καὶ ἑνιαίῳ φωτὶ τῆς μιᾶς Θεότητος, τῆς ἐν Τριάδι μοναδικῶς ὑπαρχούσης καὶ διαιρουμένης ἀδιαιρέτως· Τριὰς γὰρ εἷς Θεὸς παντοκράτωρ, οὗ τὴν δόξαν οἱ οὐρανοὶ διηγοῦνται, ἡ δὲ γῆ τὴν αὐτοῦ δεσποτείαν καὶ ἡ θάλασσα τὸ αὐτοῦ κράτος καὶ πᾶσα αἰσθητή τε καὶ νοητὴ κτίσις τὴν αὐτοῦ μεγαλειότητα κηρύττει πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ϛ΄. Εὐχὴ ἣν λέγει ὁ ἱερεὺς κατὰ τὴν προέλευσιν

Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μεγαλώνυμος Κύριος, ὁ δοὺς ἡμῖν εἴσοδον εἰς τὰ ἅγια τῶν ἁγίων διὰ τῆς ἐπιδημίας τοῦ μονογενοῦς σου Υἱοῦ, [Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ,] ἱκετεύομεν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, ἐπειδὴ ἔμφοβοί ἐσμεν καὶ ἔντρομοι μέλλοντες παρίστασθαι τῷ φοβερῷ καὶ φρικτῷ σου θυσιαστηρίῳ· Ἐξαπόστειλον ἐφ᾽ ἡμᾶς, ὁ Θεός, τὴν χάριν σου τὴν ἀγαθήν, καὶ

ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ ἀλλοίωσον τὰ φρονήματα ἡμῶν πρὸς εὐσέβειαν, ἵνα ἐν καθαρῷ συνειδότι προσφέρωμέν σοι δῶρα, δόματα, καρπώματα, εἰς ἀθέτησιν τῶν ἡμετέρων ἁμαρτημάτων καὶ εἰς ἱλασμὸν παντὸς τοῦ λαοῦ σου· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Χριστοῦ σου, μεθ' οὗ σοὶ δόξα πρέπει σὺν τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## Ζ΄. Εὐχὴ θυμιάματος προ τοῦ Εὐαγγελίου

Σοὶ τῷ πεπληρωμένῳ πάσης εὐωδίας καὶ εὐφροσύνης, Κύριε ὁ Θεὸς ἡμῶν, ἐξ ὧν δέδωκας ἡμῖν προσφέρομέν σοι τὸ θυμίαμα τοῦτο· ἀναληφθήτω δή, δεόμεθά σου, ἐκ τῶν πενιχρῶν ἡμῶν χειρῶν εἰς τὸ ἅγιον καὶ ὑπερουράνιόν σου θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας καὶ ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σου· χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## Η΄. Εὐχὴ τοῦ θυμιάματος τῶν ἁγίων δώρων

Δέσποτα παντοκράτορ, βασιλεῦ τῆς δόξης, ὁ Θεός, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, αὐτὸς πάρεσο ἡμῖν ἐν τῇ ἁγίᾳ ὥρᾳ ταύτῃ ἐπικαλουμένοις σε, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ αἰσχύνης παραπτωμάτων· κάθαρον ἡμῶν τὸν νοῦν [καὶ τὰ φρονήματα] ἀπὸ μιαρῶν ἐπιθυμιῶν καὶ κοσμικῆς ἀπάτης καὶ πάσης διαβολικῆς ἐνεργείας, καὶ πρόσδεξαι ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὸ θυμίαμα τοῦτο, ὡς προσεδέξω τὴν προσφορὰν Ἄβελ καὶ Νῶε καὶ Ἀαρὼν καὶ Σαμουὴλ καὶ πάντων τῶν ἁγίων σου, ῥυόμενος ἡμᾶς ἀπὸ παντὸς πονηροῦ πράγματος καὶ σῴζων εἰς τὸ πάντοτε εὐαρεστεῖν καὶ προσκυνεῖν καὶ δοξάζειν σέ, τὸν Πατέρα καὶ τὸν μονογενῆ σου Υἱὸν καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## Θ΄. Εὐχὴ τοῦ ἁγίου Διονυσίου, προερχομένων τῶν ἁγίων δώρων

Τὸ φρικτόν σου, Κύριε, καταλαβόντες δάπεδον, θαμβούμεθα τὸ πρόσωπον, τῇ λαμπρᾷ σου τραπέζῃ προσερχόμενοι, καὶ πέλας τοῦ φοβεροῦ

σου γινόμενοι βήματος, κλονούμεθα τῷ παλμῷ, τὰ μέλη βραττόμενοι ἀνέφικτον ἱερὸν θῦμα προσάγοντες· τίς γὰρ τῶν γηγενῶν προσηλωμένος τοῖς πάθεσιν, ἀξίως τηλικούτων μυστηρίων ἐφάψασθαι δύναται; ἀφαιρεῖται γὰρ τὴν παρρησίαν τὸ τῆς φύσεως ἄστατον καὶ συνειδήσεις ἐναγεῖς τῷ νῷ κατεργάζεται, καὶ σκότος ἐπάγει τῆς ψυχῆς τῷ βλέμματι ἄσεμνος πολιτεία καὶ βίος ἐπίμωμος· ὅθεν δεδίαμεν καὶ τῷ φόβῳ κλονούμεθα, μήπως ἀναξίως τῶν δώρων ἁψάμενοι, τρέψωμεν καθ' ἑαυτῶν τὸ θεῖον εἰς ἐκδίκησιν· διὸ καθικετεύομεν τὴν φιλανθρωπίαν σου· Δὸς ἡμῖν ἀδεῶς τῶν ἁγίων σου μυστηρίων ἐφάψασθαι, καὶ ἐνδυνάμωσον ἡμᾶς ψυχῇ καὶ σώματι, καὶ χάρισαι ἡμῖν ἀμώμως ἱερουργῆσαι τῇ σῇ ἀρρήτῳ δυνάμει, πάντα γὰρ διὰ σοῦ γίνεται, καὶ πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ μεγαλοπρέπεια, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## Ι'. Εὐχὴ τοῦ καταπετάσματος

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι ἔδωκας ἡμῖν παρρησίαν εἰς τὴν εἴσοδον

τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ

τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ, ἣν ἐνεκαίνισας ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς αὐτοῦ· καταξιωθέντες οὖν εἰσελθεῖν εἰς τόπον σκηνώματος δόξης σου, ἔσω τε γενέσθαι τοῦ καταπετάσματος καὶ τὰ ἅγια τῶν ἁγίων κατοπτεῦσαι, προσπίπτομεν τῇ ἀγαθότητί σου, Δέσποτα, ἐλεῆσαι ἡμᾶς, ἐπειδὴ ἔμφοβοι καὶ ἔντρομοί ἐσμεν μέλλοντες παρίστασθαι τῷ ἁγίῳ σου θυσιαστηρίῳ·

Καὶ τὰ περικείμενα τῇ ἱερᾷ ταύτῃ τελετῇ συμβολικῶς ἀμφιάσματα τῶν αἰνιγμάτων ἀνακαλύψας, τηλαυγῶς ἡμῖν ἀνάδειξον καὶ τὰς νοερὰς ἡμῶν ὄψεις τοῦ ἀπεριλήπτου σου φωτὸς ἀποπλήρωσον, καὶ καθάρας τὴν πτωχείαν ἡμῶν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἀξίαν ἀπέργασαι τῆς φοβερᾶς ταύτης καὶ φρικτῆς παραστάσεως· ὅτι ὑπερεύσπλαγχνος καὶ ἐλεήμων Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## ΙΑ΄. Ἑτέρα εὐχὴ τοῦ καταπετάσματος

Ἀγαθὲ καὶ φιλάνθρωπε Κύριε, ὁ διὰ τῆς παρουσίας τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τῆς ἐλλάμψεως τοῦ παναγίου σου Πνεύματος καταξιώσας ἡμᾶς παραστῆναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσφέρειν καὶ λειτουργεῖν τοῖς ἀχράντοις μυστηρίοις τῆς καινῆς σου διαθήκης, ποίησον μετ᾿ ἐμοῦ σημεῖον εἰς ἀγαθὸν καὶ ἀξίωσόν με ἐν καθαρῷ συνειδότι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

## ΙΒ΄. Εὐχὴ ὑψώσεως

Ἅγιε, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, Κύριε, ἁγίασον ἡμᾶς τῷ λόγῳ τῆς σῆς χάριτος καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου Πνεύματος, σὺ γὰρ εἶπας Δέσποτα· Ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι, Κύριος ὁ Θεὸς ὑμῶν.

## ΙΓ΄. Εὐχὴ μελισμοῦ τοῦ ἁγίου Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας

Κύριε ὁ Θεός, ὁ φιλάνθρωπος Σωτὴρ ἡμῶν, Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ Θεοῦ ζῶντος, ὁ ἐν σώματι φανεὶς διὰ τὴν ἡμετέραν σωτηρίαν

καὶ φωτίσας τον κόσμον ἅπαντα

καὶ φωτίσας τὸν κόσμον ἅπαντα, μεγάλας καὶ θαυμαστὰς ἐλεημοσύνας ἐποίησας εἰς ἡμᾶς, ἵνα ὅλως τῆς δουλείας τοῦ θανάτου ἐλευθερώσῃς ἡμᾶς· ὁ ἀμνὸς ὁ ἅγιος καὶ ἄμωμος τοῦ Θεοῦ, ἐν ἀνθρωπίνῃ φύσει δι' ἡμᾶς πεφανέρωσαι καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθης διὰ τοῦ τιμίου σώματος καὶ ἀληθινοῦ αἵματός σου, καὶ ὁ δίκαιος ὡς κακοῦργος ἐν μέσῳ λῃστῶν ἐσταυρώθης.

Ναί, Κύριε, πρὸ τοῦ σταυρωθῆναί σε, λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων καὶ ἀμωμήτων χειρῶν σου, καὶ εὐλογήσας, μετέδωκας τοῖς μακαρίοις μαθηταῖς σου εἰπών· Τοῦτό ἐστι τὸ σῶμά μου. Καὶ μετὰ τὸ δειπνῆσαι λαβὼν τὸ ποτήριον ἐν ταῖς ἁγίαις καὶ ἀμωμήτοις χερσί, κεκραμένον ἐξ οἴνου καὶ ὕδατος, καὶ εὐλογήσας, μετέδωκας τοῖς μακαρίοις μαθηταῖς σου καὶ ἀποστόλοις εἰπών· Τοῦτό ἐστι τὸ αἷμά μου· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ· καὶ νῦν μνημονεύομεν τῆς ἐντολῆς σου.

Ἐγὼ δέ, ἐὰν ᾐσχυνόμην διὰ τὰ δεινά μου ἁμαρτήματα καὶ βδελύγματα, οὐκ ἂν ἤμην ἄξιος

εἰς τὸν οὐρανὸν ἀτενίσαι· διὸ σοὶ μόνῳ προσπίπτω ἐξομολογούμενος· Ἥμαρτον, Κύριε, ἥμαρτον καὶ τὰς ἀνομίας μου ἐγὼ γινώσκω, ὅτι ἀναξίως τολμῶν προσέρχομαι τῷ ἀρρήτῳ μυστηρίῳ τοῦ τιμίου σώματος καὶ τοῦ ἀληθινοῦ αἵματός σου, ἀλλὰ θαρρῶν τῇ ἐλπίδι τῆς ἀφάτου σου εὐσπλαγχνίας καὶ χρηστότητος, δεόμαί σου, Κύριε, Κύριέ μου Ἰησοῦ Χριστέ·

Ἱλάσθητί μοι, ἱλάσθητι καὶ μὴ καταδικάσῃς με διὰ τὸ ἀνάξιον εἶναί με, ἀλλὰ γενέσθω μοι τὸ ἅγιον καὶ ἀληθινὸν καὶ τίμιον σῶμα καὶ αἷμά σου εἰς ἀποτροπὴν ἁμαρτιῶν, εἰς ἐξάλειψιν πλημμελημάτων, εἰς φωτισμὸν τῶν ὀφθαλμῶν τῆς καρδίας μου, ἵνα καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης καὶ πάντοτε φοβοῦμαί σε, καὶ φεύγω πᾶσαν ἁμαρτίαν καὶ ἀκαθαρσίαν, ποθῶν δὲ μᾶλλον τὸ τίμιον σῶμα καὶ τὸ αἷμά σου, καὶ διὰ παντὸς ἐπιθυμῶν τὴν βασιλείαν τῶν οὐρανῶν· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## ΙΔ΄. Εὐχὴ μεταλήψεως

Δέσποτα Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ οὐράνιος ἄρτος, ἡ τροφὴ τοῦ παντὸς κόσμου, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου καὶ οὐκ εἰμὶ ἄξιος μεταλαβεῖν τῶν ἁγίων καὶ ἀχράντων σου μυστηρίων, ἀλλὰ διὰ τὴν σὴν ἀγαθότητα καὶ ἄφατον μακροθυμίαν ἄξιόν με ποίησον ἀκατακρίτως καὶ ἀνεπαισχύντως μετασχεῖν τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον· ἀμήν.

## ΙΕ΄. Ἑτέρα εὐχὴ μεταλήψεως

Τῆς κατὰ φιλανθρωπίαν παρασχεθείσης ἡμῖν παρὰ σοῦ θείας χάριτος τὰ ὑπὲρ ἡμᾶς ἐτολμήσαμεν· προσερχόμεθα οὖν μετὰ φόβου τοῖς ἁγίοις σου μυστηρίοις, Δέσποτα, σὲ αἰτούμενοι· Εἴ τι διὰ ἀνθρωπίνην ἀσθένειαν ἡμῖν παρῶπται, συγγνώμων γενοῦ, Κύριε ὁ Θεὸς ἡμῶν.

## ΙϚ΄. Εὐχὴ τοῦ θυμιάματος πρὸ τῆς εὐχαριστίας

Ηὔφρανας ἡμᾶς, ὁ Θεός, τῇ ἐν σοὶ ἑνώσει καὶ σοὶ προσφέρομεν θυμίαμα χαριστήριον, καρπὸν χειλέων ὁμολογούντων τὴν χάριν σου·

ἀναβήτω δὲ πρὸς σέ, ὁ Θεός, καὶ μὴ καταβήτω διακενῆς, ἀλλὰ χάρισαι ἡμῖν τῆς εὐωδίας τοῦ παναγίου σου Πνεύματος μύρον ἄχραντον καὶ ἀναφαίρετον· πλήρωσον τὸ στόμα ἡμῶν αἰνέσεως καὶ τὰ χείλη ἀγαλλιάσεως καὶ τὴν καρδίαν χαρᾶς καὶ εὐφροσύνης, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## ΙΖ'. Εὐχὴ λεγομένη ἐν τῷ διακονικῷ μετὰ τὴν ἀπόλυσιν

Ἐκ δυνάμεως εἰς δύναμιν πορευόμενοι καὶ πᾶσαν τὴν ἐν τῷ ναῷ σου πληρώσαντες λειτουργίαν, καὶ νῦν δεόμεθά σου, Κύριε ὁ Θεὸς ἡμῶν· Τελείας φιλανθρωπίας ἀξίωσον ἡμᾶς, ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν, ῥίζωσον ἡμᾶς ἐν τῷ φόβῳ σου, τοὺς πάντας ἐλέησον καὶ τῆς ἐπουρανίου βασιλείας ἀξίους ἀνάδειξον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## ΙΗ΄. Εὐχὴ τελευταία

Ηὐλόγηται ὁ Θεός, ὁ εὐλογῶν καὶ ἁγιάζων καὶ σκέπων καὶ εἰρηνεύων καὶ διαφυλάττων τὴν ζωὴν ἡμῶν διὰ τῆς μεταλήψεως τῶν ἁγίων καὶ ἀχράντων καὶ ζωοποιῶν αὐτοῦ μυστηρίων, ὧν μεταλαβεῖν ἠξιώθημεν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΙΘ΄. Εὐχὴ ὀπισθάμβωνος τοῦ ἁγίου Ἰακώβου (ἀπόλυσις)

Εὐχαῖς καὶ πρεσβείαις τῆς παναγίας, ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ ἁγίου Ἰωάννου τοῦ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ, τοῦ ἁγίου Στεφάνου τοῦ πρωτοδιακόνου καὶ πρωτομάρτυρος, τῶν ἁγίων ἀποστόλων, ἐνδόξων προφητῶν καὶ ἀθλοφόρων μαρτύρων, καὶ πάντων τῶν ἁγίων, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, διὰ τῆς μεταλήψεως τῶν ἀχράντων αὐτοῦ μυστηρίων, πάντας ἡμᾶς εὐλογήσει ἐν εἰρήνῃ καὶ ἀγάπῃ, ἁγιάσει καὶ διαφυλάξει καὶ τῆς ἐπουρανίου βασιλείας ἀξίους ἀναδείξει, καὶ ἐλεήσει τὸν κόσμον αὐτοῦ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τέλος καὶ τῷ Θεῷ δόξα

ΤΙΜΙΩΤΕΡΑ ΤΩΝ ΧΕΡΟ
ΥΒΙΜ ΚΑΙ ΣΕΡΑΦΙΜ ΠΕ
ΦΗΝΑΣ·ΝΟΗΤΟΣ ΤΕ ΠΑΡ
ΑΔΕΙΣΟΣ· ΓΑΛΗΝΟΣ ΛΙ
ΜΗΝ· ΑΙΤΟΥΣΙΝ ΑΕΙ ΠΟ
ΘΟΝ ΔΑΨΙΛΕΥΟΥΣΑ ΘΕ
ΟΥ·ΜΕΤΑΝΟΙΑΝ ΗΜΙΝ Δ
ΟΣ·ΜΑΡΙΑ·ΟΒΟΛΟΝ ΔΕΧ
ΟΜΕΝΗ ΕΥΧΑΡΙΣΤΙΑΣ

Στοιχειοθεσία-Σελιδοποίηση: Ἴνδικτος Α.Ε.
Ἐκδοτικὴ ἐπιμέλεια: Μανώλης Βελιτζανίδης
Ἐκτύπωση: ΕΜ-ΕΣ ΠΡΕΣΣ Α.Ε.
Βιβλιοδεσία: Βιβλιοδετικὴ Ἀττικῆς

Α΄ ἔκδοση: Νοέμβριος 2023
Ἀντίτυπα Α΄ ἐκδόσεως: 1.500